





ACADEMIA · HARVARDIANA · IN · NOV·ANG
CHRISTO ET ECCLESIAE
VE RI
TAS

EROTEMATA GRAMMATICA

EX ARTE DIONYSIANA ORIUNDA.

MAXIMAM PARTEM NUNC PRIMUM

EDIDIT

PETRUS EGENOLFF.

ALS BEILAGE ZUM PROGRAMM DES GROSSHERZOGLICHEN GYMNASIUMS ZU MANNHEIM FÜR DAS SCHULJAHR 1879/80.

MANHEMII
TYPIS EXPRESSIT H. HOGREFE
CIƆIƆCCCLXXX.

EROTEMATA GRAMMATICA

ex arte Dionysiana oriunda.

Supplementum artis Dionysianae *Περὶ προσῳδιῶν. Προσῳδίαι εἰσὶ δέκα· ὀξεῖα ʹ, βαρεῖα ̀, περισπωμένη ῀, μακρά —, βραχεῖα ˘, δασεῖα ʽ, ψιλή ʼ, ἀπόστροφος ʼ, ὑφέν ‿, ὑποδιαστολή, [καὶ ὑποδιαστολή,* H*].* [Post haec addunt GHb *τούτων εἰσὶ σημεῖα τάδε· ὀξεῖα, οἷον Ζεύς, βαρεῖα, οἷον Πὰν, περισπωμένη, οἷον πῦρ, μακρά, οἷον Ἥρᾱ, βραχεῖα, οἷον γᾰρ* (*H* pro *μακρά, οἷον Ἥρᾱ* praebet *μακρὰ δέ, οἷον Δημήτριος* et post *γᾰρ* collocatum), *δασεῖα, οἷον ῥῆμα,* (in H *Ἥρα*), *ψιλή, οἷον ἄρτος, ἀπόστροφος, οἷον ἔφατ', ὑφέν, ὡς πασι‿μέλουσα, ὑποδιαστολή „Δία δ'οὐκ ἔχε, νήδυμος ὕπνος"* (B 2)*]. — Διαιροῦνται δὲ αἱ προσῳδίαι εἰς τέσσαρα· εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, εἰς πάθη [καὶ εἰς π. H]. — Τόνοι μὲν οὖν εἰσι τρεῖς· ὀξὺς ʹ, βαρὺς ̀, περισπώμενος ῀. χρόνοι δύο, μακρός — καὶ βραχύς ˘. πνεύματα δύο, δασύ ʽ καὶ ψιλόν ʼ. πάθη τρία, ἀπόστροφος ʼ, ὑφέν ‿, ὑποδιαστολή ,.* [Omittunt codices, sed legebat scholiasta: *τόνος οὖν ἐστιν ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν [τῆς συλλαβῆς H] εὐφωνίαν ἔχουσα. καὶ ἔστι πάλιν ἡ μὲν ὀξεῖα ποιότης συλλαβῆς ἐπιτεταμένον [ἐπι* om. *H] ἔχουσα φθόγγον· ἡ δὲ βαρεῖα ποιότης συλλαβῆς ἀνειμένον ἔχουσα φθόγγον· ἡ δὲ περισπωμένη ποιότης συλλαβῆς συνημμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον.*] — *Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς· ὀξύτονον, παροξύτονον, ὃ καὶ βαρύτονον λέγεται, καὶ προπαροξύτονον, ὃ καὶ βαρύτονον παρατέλευτον λέγεται. ὀξύτονον ὄνομα καλεῖται τὸ ἐπὶ τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλός, σοφός, δυνατός [τοῦ* ante *τέλους* om. *H]. παροξύτονον ὄνομα καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Ἰωάννης, Πέτρος. προπαροξύτονον τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Γρηγόριος, Θεόδωρος. — Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον καὶ προπερισπώμενον. περισπώμενον ὄνομα καλεῖται τὸ ἐπὶ τοῦ τέλους [τοῦ* om. *H] ἔχον τὴν περισπωμένην, οἷον Θωμᾶς, Λουκᾶς. προπερισπώμενον ὄνομα καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον κῆπος, δῆμος. ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστίν, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπὶ τέλους ἐτίθετο [ἐπὶ τέλους* codices, sed non agnoscit scholiasta], *ἀλλὰ ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται, οἷον ἄνθρωπος καλός· ἰδοὺ ἐνταῦθα εἰς τὸ λος ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη· ἐὰν δὲ εἴπῃς καλὸς ἄνθρωπος, ἰδοὺ ὧδε εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ ταῦτα ἐτέθη τὸ ἄνθρωπος. περὶ γὰρ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία. — Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, οἷον ἡμέρα, ὥρα καὶ εἰς τὰ ὅμοια. ὁμοίως καὶ ἡ ψιλὴ τίθεται εἰς γράμμα φωνῆεν ψιλούμενον, οἷον ἔγραφον, ὄνομα καὶ εἰς τὰ ὅμοια. φωνήεντα δὲ γράμματά εἰσιν ἑπτά· ᾱ ε̄ η̄ ῑ ō ῡ ω̄. — Ἡ δὲ ἀπόστροφος τίθεται, ὅτ' ἂν διὰ τὴν καλλιφωνίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ*

λέξει, οἷον „οὐχ᾽ οὕτως οἱ ἀσεβεῖς, οὐχ᾽ οὕτως“ (Psalm. I 4). *ἥρμοζε γὰρ οἱ ἀσεβεῖς οὐχὶ οὕτως, ἀλλὰ διὰ τὴν καλλιφωνίαν ἐκουφίσθη τὸ ῑ καὶ ἀντ᾽ αὐτοῦ εἰςῆλθεν ἄνωθεν ἡ ἀπόστροφος. οὕτως καὶ τὰ ὅμοια. ἡ δὲ ὑφὲν τίθεται ὅτ᾽ ἂν δύο λέξεις ἐν τῷ ἅμα ὀφείλωσι λέγεσθαι, οἷον φιλόθεος, ἀρχιστράτηγος καὶ εἰς τὰ ὅμοια. ἡ δὲ διαστολὴ τίθεται, ὅτ᾽ ἂν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινα λέξιν, οἷον ἔστιν, ἄξιος· μεταξὺ τοῦ ν καὶ τοῦ ᾱ εἰςῆλθεν ἡ διαστολή, ἵνα μὴ ὁ ἀναγινώσκων ἀντὶ τοῦ εἰπεῖν ἔστιν, ἄξιος εἴπῃ ἔστι, Νάξιος, τουτέστιν ἀπὸ τῆς Ναξίας τῆς νήσου. οὕτως καὶ τὰ ὅμοια.*

Eg 7 . . . . . *εἰς χ [ρόνους], εἰς πνεύματα καὶ εἰς πάθη. καὶ διατί εἰς τέσσαρα; διότι καὶ ὁ τέταρτος ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου. καὶ πῶς γεννᾷ τὸν δέκατον.; μετρεῖς ἀπὸ τοῦ πρώτου ἕως τοῦ τετάρτου καὶ τελειοῦται ὁ δέκατος ἀριθμός. καὶ πῶς μετρεῖς; μία καὶ δύο τρεῖς, δὶς τρισὶν ἕξ, μεθ᾽ ὧν τέσσαρες, καὶ ἰδοὺ δέκα. πόσαι κυρίως προσῳδίαι; ἑπτά· ἡ γὰρ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς.* quibuscum consentiunt quae leguntur paullo post . . . . ante *τί ἐστι τόνος; — Πόσα εἴδη τῶν προσῳδιῶν; τρία, τόνοι, χρόνοι καὶ πνεύματα. πόσοι τόνοι; τρεῖς· ὀξύς, βαρύς, περισπώμενος. πόσοι τόνοι κυρίως; δύο· ἡ γὰρ βαρεῖα συλλαβικῶς τόνος ἐστὶ καὶ οὐ κυρίως.* [Hoc de gravi accentu praeceptum in supplemento legitur, postquam de locis acuti et circumflexi expositum est]. *πόθεν τόνος; παρὰ τὸ τείνειν τὴν φωνήν. διατί εἰσι τρεῖς τόνοι; διότι καὶ τρεῖς τρόποι εἰσὶ τῶν κινούντων ἑαυτοὺς πρὸς δρόμον· ἢ γὰρ ὀρθῶς τις τρέχει καὶ μιμεῖται τὴν ὀξεῖαν, ἢ κεκυφότως καὶ μιμεῖται τὴν βαρεῖαν, ἢ ἡνιοχευτικῶς καὶ μιμεῖται τὴν περισπωμένην.* — 10 *Τί ἐστι τόνος; . . . . . ἔχουσα. τί ἐστιν ὀξεῖα; ποιότης συλλαβῶν τεταμένον ἔχουσα φθόγγον. τί ἐστι βαρεῖα; ποιότης συλλαβῶν κεκλασμένον ἔχουσα φθόγγον. τί ἐστι περισπωμένη; ποιότης συλλαβῶν συνηγμένον ἔχουσα φθόγγον. — πόθεν ὠνόμασται ὀξεῖα; ἐκ τῶν ὀξέων δοράτων* (sic) *ἢ διὰ τὸ τοὺς ὀξεῖς ἥλους μιμεῖσθαι. πόθεν ὠνόμασται βαρεῖα; ἐκ μεταφορᾶς τῶν τὰ φορτικὰ βασταζόντων καὶ εὐθεῖαν τρίβον ἀνυτόντων. πόθεν ὠνόμασται περισπωμένη; ἐκ τοῦ περικεκλάσθαι καὶ συναιρεῖσθαι* (sic), *οἱονεὶ συνῃρημένη τις οὖσα.* — 14 *Πόσοι τόποι τῆς ὀξείας; τρεῖς· ὀξύτονος, παροξύτονος καὶ προπαροξύτονος. ποῖόν ἐστιν ὀξύτονον ὄνομα; τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν; οἷον καλός, σοφός, δυνατός. ποῖον παροξύτονον; τὸ πρὸ μιᾶς . . . . ,οἷον Πέτρος, Ἰωάννης. Ποῖον προπαροξύτονον; τὸ πρὸ δύο συλλαβῶν . . . . . Γρηγόριος, Βασίλειος.* — 18 Intercidere praecepta de locis circumflexi. 21 vide quae supra leguntur de gravi accentu post interrogationem hanc: *πόσοι τόνοι κυρίως;* — 9 et 27 *Πόσα πνεύματα; δύο, δασὺ καὶ ψιλόν. διατί εἰσι δύο πνεύματα; διότι ἡ μὲν δασεῖα ἐκ τοῦ θώραος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων. καὶ διὰ τοῦτο οὐ προσέσχεν ὁ ποιητὴς τρίτῳ πνεύματι, τῆς φύσεως μὴ ἀπαιτούσης. τί ἐστι πνεῦμα; ἐκφορὰ λέξεων ἀθρόως ἢ μετρίως παραλαμβανομένη. τί ἐστι δασεῖα; ποιότης συλλαβῶν ἐκ τοῦ θώρακος ἐξερχομένη. τί ἐστι ψιλή; ποιότης συλλαβῶν, καθ᾽ ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα προςφέρεται* [l. *προφέρεται*]. — 9 et 29 *Πόσα πάθη; τρία, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή. διατί λέγονται πάθη; διὰ τὸ ἐν ταῖς παθητικαῖς λέξεσι τίθεσθαι. τί ἐστιν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος. ἀντὶ πόσων φωνηέντων τίθεται ἡ ἀπόστροφος; ἀντὶ τεσσάρων· ἀντὶ τοῦ ᾱ ,ὡς τὸ ἄρα οὕτως ἄρ᾽ οὕτως· ἀντὶ τοῦ ε̄ ,ὡς τὸ οὐδὲ εἶδον οὐδ᾽ εἶδον· ἀντὶ τοῦ ο,ὡς τὸ δεῦρο ἴθι δεῦρ᾽ ἴθι· ἀντὶ τοῦ ι ,ὡς τὸ ἐπὶ ἐμέ ἐπ᾽ ἐμέ. τί ἐστιν ὑφέν; συνάφεια δύο λέξεων εἰς ταὐτὸ συνερχομένων, οἷον ἀρηίφιλος. τί ἐστιν ὑποδιαστολή; διάστασις συμφώνων ἀμφιβαλλομένων περὶ τὴν σύνταξιν, οἷον ἔστιν, ἄξιος καὶ ἔστι, Νάξιος ἀπὸ τῆς Νάξου τῆς νήσου.*

Ev 1 *Γίνωσκε ὅτι προσῳδίαι εἰσὶ δέκα· ὀξεῖα ʹ, βαρεῖα, περισπωμένη ⌒, μακρά —, βραχεῖα ◡, δασεῖα, ψιλή, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή,.* — 8 *Γίνωσκε ὅτι τόνοι εἰσὶ κυρίως δύο, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη. ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί.* — 14 *Γίνωσκε ὅτι ἡ ὀξεῖα ἔχει τόπους τρεῖς, εἰς οὓς καὶ τίθεται, τὴν λήγουσαν, τὴν παραλήγουσαν καὶ τὴν προπαραλήγουσαν. καὶ λήγουσαν* (sic) *μὲν λέγεται τὸ τέλος τῆς λέξεως, οἷον τυχὸν πρόδρομος τὸ μος, ἢ Θεόδωρος τὸ ρος, ἢ λόγος τὸ γος, ἢ ἄλλο τι, οἷον ἂν εἴπεις* (sic)*· τὸ τέλος ἐκείνης τῆς λέξεως λέγεται λήγουσα, Θεόδωρος τὸ ρος λέγεται λήγουσα, καὶ τὸ δω λέγεται παραλήγουσα, καὶ τὸ ō λέγεται προπαραλήγουσα. καὶ πῶς καλεῖται τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν, ὡς ὁ σοφός ἐπὶ τὸ* (sic) *φος; ὀξύτονον. πῶς τὸ ἐπὶ τῆς παραληγούσης, ὡς ὁ λόγος ἐπὶ τὸ λο; παροξύτονον καὶ βαρύτονον. πῶς τὸ ἐπὶ τῆς προπαραληγούσης ἔχον τὴν ὀξεῖαν, ὡς τὸ Θεόδωρος ἐπὶ τὸ ō μικρόν; προπαροξύτονον καὶ βαρύτονον. οὗτοί εἰσιν οἱ τόποι τῆς ὀξείας.* — 18 *τῆς περισπωμένης οἱ τόποι εἰσὶ δύο, ἡ λήγουσα, οἷον ποιῶ, βοῶ, καὶ ἡ παραλήγουσα, οἷον Παῦλος, οὗτος, ἐκεῖνος. καὶ πῶς καλεῖται τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν περισπωμένην; περισπώμενον. πῶς δὲ τὸ ἐπὶ τῆς παραληγούσης; προπερισπώμενον.* — *Γίνωσκε ὅτι ἐὰν ἔνι ἡ λήγουσα καὶ ἡ παραλήγουσα καὶ αἱ δύο μακραὶ καὶ ἔχει εἰς τὴν παραλήγουσαν τὸν τόνον, ὡς τὸ ποιήσω, ὀξεῖαν ὀφείλει ἵνα ἔχῃ. λέγει γὰρ ὁ κανών· μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται. εἰ δὲ εἰσι καὶ αἱ δύο βραχεῖαι, ἤτοι ἡ λήγουσα καὶ ἡ παραλήγουσα, καὶ οὕτως ὀξεῖαν γράφε. λέγει γὰρ ὁ κανών· ἐπάνω βραχείας περισπωμένη οὐ τίθεται. εἰ δὲ ἡ λήγουσα ἔνι μακρά, ὡς τὸ ὁ λέων τυχόν, ἡ δὲ παραλήγουσα ἔνι βραχεῖα, καὶ οὕτως ὀξεῖαν γράφε. λέγει γὰρ ὡς εἴπομεν ὁ κανών, ὅτι ἐπάνω βραχείας περισπωμένη οὐ τίθεται. εἰ δὲ ἡ λήγουσα ἔνι βραχεῖα καὶ ἔχει ἐπάνω αὐτῆς τόνον, ὡς τὸ σοφός, ἐπὶ τὸ φος ὀξεῖαν γράφε. λέγει γὰρ ὁ κανών· πᾶσα ὀρθὴ καὶ αἰτιατικὴ μὴ οὖσα ἀπὸ συναιρέσεως ὀξύνεται. εἰ δὲ ἔνι ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης, ὡς ὁ Θεόδωρος ἢ ὁ πρόδρομος, ὀξεῖαν καὶ οὕτως γράφε. λέγει γὰρ ὁ κανών· πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. αὕτη ἐστὶν ἡ μέθοδος τῆς ὀξείας, πῶς ἵνα γράφῃς αὐτήν.* — *Ἡ περισπωμένη ἔχει ὡς εἴρηται τόπους δύο, αὐτὴν τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν. ἂν γοῦν ἔνι ἡ λήγουσα μακρὰ καὶ ἔχει ἐπάνω αὐτῆς τόνον, περισπωμένην ὀφείλει ἵνα ἔχῃ, εἴτε συνῃρημένη ἐστίν, ὡς τὸ ποιῶ, εἴτε οὐχί, ὡς τὸ ποῦ ἢ τὸ πῶς ἤ τι τοιοῦτον. καὶ εἰ μὲν ἔνι συνῃρημένη, ἔχει περισπωμένην. λέγει γὰρ ὁ κανών· πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. εἰ δὲ οὐδὲν ἔνι συνῃρημένον, ἔνι δὲ μακρά, καὶ οὕτω περισπᾶται. λέγει γὰρ ὁ κανών· πᾶν ῥῆμα μακροκατάληκτον περισπᾶται. περισπῶνται· γίνωσκε καὶ πολλαὶ δοτικαὶ τῶν ὀνομάτων καὶ πολλαὶ γενικαί, ὡς τὸ τῷ σοφῷ, τῷ Χριστῷ, τῷ καλῷ, τῶν σοφῶν, τῶν καλῶν. καὶ ἔστιν ὁ κανὼν τούτων· πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον περισπᾶται. εἰ δὲ ἡ λήγουσα ἔνι βραχεῖα, ἡ δὲ παραλήγουσα ἔνι μακρά, ὡς τὸ οὗτος, ἐκεῖνος καὶ ἔχει ἐπάνω τῆς παραληγούσης τόνον, περισπωμένην ὀφείλει ἵνα ἔχῃ. λέγει γὰρ ὁ κανών· πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. οὗτοί εἰσι καὶ οἱ τόποι τῆς περισπωμένης καὶ οἱ κανόνες αὐτῆς.* 21 vide quae supra leguntur de accentibus propriis. — *Γίνωσκε ὅτι πᾶς λόγος καὶ πᾶσα λέξις ἢ ἀπὸ φωνήεντος ἄρχεται, ὡς τὸ Ἰωάννης, Ἰουδαῖος, Ἰὼβ καὶ τὰ τοιαῦτα, ἢ ἀπὸ συμφώνου, ὡς τὸ τύπτω, ψάλλω, γράφω καὶ τὰ ὅμοια. καὶ εἰ μὲν ἄρχεται ἀπὸ συμφώνου πλὴν τοῦ ρ, μήτε ψιλὴν γράφε ποτὲ ἐπάνω τῆς τοιαύτης λέξεως τῆς ἀρχομένης ἀπὸ συμφώνου μήτε δασεῖαν, εἰ μὴ τόνον ἢ ὀξεῖαν ἢ περισπωμένην, ὡς ἀπαιτεῖ ὁ κανὼν τῆς τοιαύτης λέξεως. εἰ δὲ ἄρχεται ἀπὸ φωνήεντος ἑνὸς τῶν ἑπτά, ἢ ψιλὴν γράφε ἐπάνω ἢ δασεῖαν. καὶ πάντοτε μὲν ψιλὴν γράφε. ἔστιν ὅτε ὀφείλεις ἵνα γράφῃς καὶ δασεῖαν. γράφε*

δὲ ἂν ἔχει καὶ τόνον, ἢ ὀξεῖαν ἢ βαρεῖαν ἢ περισπωμένην, ὡς τὸ ἤκουσα τυχὸν ἢ τὸ εἶδον ἢ τὸ ὅπερ. ὁρᾷς· ἑκάστη λέξις ἔχει τὸν ὀφειλόμενον αὐτῇ τόνον, τὸ μὲν ἤκουσα ὀξεῖαν· πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. τὸ δὲ εἶδον περισπωμένην· πᾶσα φύσει μακρά: τὸ δὲ ὅπερ βαρεῖαν· πᾶσα ὀρθὴ καὶ αἰτιατική: — Ἵνα δὲ γινώσκῃς ὡς ἐν παρόδῳ, πότε ἵνα γράφῃς ψιλὴν κα πότε δασεῖαν, ποίει οὕτω· σύμφωνα ψιλά εἰσι τρία, κ π τ, καὶ δασέα τρία, θ φ χ. τα δὲ ψιλὰ γοῦν σύμφωνα ὁμοφωνοῦσι ταῖς λέξεσιν, αἵτινες ψιλοῦνται. τὰ δὲ δασέα ὁμοφωνοῦσι τοῖς δασέοις (sic). γράφεις οὖν τυχὸν ἡμῖν, καὶ ἀγνοεῖς τίνα θήσεις ἐπὶ τὸ ῆ, ψιλὴν ἢ δασεῖαν, καὶ τίθου ὄπισθεν τοῦ γράμματος, οὗ ἔχεις τὴν ἀμφιβολίαν, τοῦ ἡμῖν τυχόν, λέξιν ἔχουσαν εἰς τὸ τέλος ἓν τῶν ψιλῶν συμφώνων ἢ τῶν δασέων. καὶ εἰ μὲν ὁμοφωνεῖ μετὰ τοῦ ψιλοῦ συμφώνου, τίθου ψιλήν. εἰ δὲ μετὰ τούτων (h. e. τούτου) μὲν οὐχ ὁμοφωνεῖ, ὁμοφωνεῖ δὲ μετὰ τοῦ δασέος, τίθου δασεῖαν, οἷον ἐφ᾽ ἡμῖν. οὐχ ὁμολογεῖ. ἐφ᾽ ἅρμα. ταῦθ᾽ οὕτως. ὁρᾷς· ὁμοφωνεῖ τὸ δασὺ φ εἰς τὸ ἡμῖν καὶ λέγει ἐφ᾽ ἡμῖν. ἐπ᾽ ἡμῖν γὰρ ὤφειλεν ἵνα εἴπῃς. διότι δὲ ἔνι τὸ π ψιλόν, τὸ δὲ ἡμῖν ἐπὶ τὸ ῆ ἔχει δασεῖαν, ἐξ ἀνάγκης ἐτράπη τὸ ψιλὸν π εἰς τὸ δασὺ φ καὶ γράφεις ἐφ᾽ ἡμῖν. ὡσαύτως καὶ τὸ οὐχ ὁμολογεῖ. διότι δασύνεται τὸ ὁμολογεῖ τὸ ὸ, ἐτράπη τὸ κ εἰς τὸ χ τὸ δασὺ καὶ γράφεις οὐχ ὁμολογεῖ. οὐκ ὁμολογεῖ ἤθελε. διὸ δὲ ἔνι τὸ κ ψιλόν, ἐτράπη εἰς τὸ δασὺ χ καὶ ὡμοφώνησεν. ὁμοίως καὶ τὸ ἅρμα. ἐπ᾽ ἅρμα ἤθελεν ἵνα γραφῇ. ὅτι δὲ οὐχ ὁμοφωνεῖ, ἐτράπη τὸ π εἰς τὸ δασὺ φ καὶ γράφεται ἐφ᾽ ἅρμα. οὕτω γράφεται καὶ τὸ ταῦθ᾽ οὕτω. ταῦτ᾽ οὕτως ἤθελε γραφῆναι. διὸ δὲ οὐχ ὁμοφωνεῖ τὸ ψιλὸν μετὰ τοῦ δασέος, ἐτράπη τὸ τ εἰς τὸ δασὺ θ καὶ γράφεται ταῦθ᾽ οὕτως. καὶ αὕτη ἐστὶν ἡ μέθοδος πότε ἵνα γράφῃς τὴν δασεῖαν. — Γίνωσκε ὅτι πᾶσα λέξις ἥτις (sic) ἄρχεται ἀπὸ τοῦ ρ δασύνεται, οἷον Ῥωμαῖος, Ῥωμανός, ῥῆμα. πάντοτε οὕτως ὡς ἄρχεται τὸ ὄνομα ἢ τὸ ῥῆμα ἀπὸ τοῦ ρ, δασεῖαν τίθου ἐπάνω τοῦ ρ. γίνωσκε ὅτι ἂν ἄρχεται ἡ λέξις ἀπὸ τοῦ ρ καὶ θήσεις ὄπισθεν λέξιν τινὰ ἢ πρόθεσιν τελευτῶσαν εἰς φωνῆεν, ἔνθα το ρ διπλασιάζεται τὸ ρρ, οἷον ῥῆμα ἐπίρρημα. ῥοῦν κατάρρουν καὶ τὰ ὅμοια.

E^b Περὶ προσῳδιῶν. Τί ἐστι προσῳδία; ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς κατὰ το ἐπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβὴν ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη ἢ [ἤτοι ed. pr.] κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον. πόθεν προσῳδία; παρὰ τὴν πρὸς πρόθεσιν καὶ τὸ ᾠδή. τὸ δὲ ᾠδή παρὰ τὸ ἀοιδή, ὅπερ ἐστὶ ποιητικὸν κατὰ κρᾶσιν τοῦ ᾶō εἰς ϖ μέγα, μένοντος καὶ τοῦ ῖ προσγεγραμμένου. τὸ δὲ ἀοιδή παρὰ τὸ ἀείδω τὸ ἐμμελῶς λέγω, καὶ τοῦτο ποιητικόν. λέγεται δὲ παρὰ τοῖς κοινοῖς ᾄδω. τὸ προς; μικρόν· πᾶσα πρόθεσις βραχυκαταληκτεῖ πλὴν τῆς εἰς καὶ ἐξ, αἵτινες καὶ ἐς καὶ ἐκ λέγονται. τὸ ϖ; μέγα· τὰ παρὰ τὴν ᾠδὴν γινόμενα ἅπαντα διὰ τοῦ ϖ μεγάλου γράφεται [γράφονται ed. pr.], οἷον ὑμνῳδία, τραγῳδία, ψαλμῳδία καὶ εἴ τι ὅμοιον. τὰ δὲ παρὰ τὴν ὁδόν διὰ τοῦ ὸ μικροῦ, οἷον εἴσοδος [πρόσοδος add. ed. pr.]. τὸ δι; ῖ· τίνα διὰ τοῦ ῖα παροξύτονα θηλυκὰ διὰ τοῦ ῖ γράφεται [γράφονται ed. pr.]; [ταῦτα· add. ed. pr.] κοιλία, καρδία, σωτηρία, προσῳδία καὶ ἕτερα. τίνα διὰ τῆς ῖ καὶ ῖ διφθόγγου; ταῦτα· θεία, χρεία, μνεία, ὑγεία καὶ σιτοδεία. σιτοδεῖα δὲ ῖ. τὸ δι; βραχύ. καὶ τὸ ᾶ; μακρόν· τὰ διὰ τοῦ ια παροξύτονα θηλυκὰ διὰ τοῦ ῖ γραφόμενα ἐκτείνει μὲν τὸ ά, συστέλλει δὲ τὸ ῖ. — 1 Πόσαι προσῳδίαι; δέκα· ὀξεῖα ´, βαρεῖα `, περισπωμένη ῀, μακρά ¯, βραχεῖα ˘, δασεῖα ῾ ψιλή ᾿, ἀπόστροφος ᾽, ὑφέν ‿ καὶ ὑποδιαστολή ,. — 7 Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. — 8 et 21 [Post τόνου definitionem:] Πόσοι τόνοι; τρεῖς· ἡ ὀξεῖα, ἡ βαρεῖα καὶ ἡ περισπωμένη. πόσοι τόνοι κυρίως; δύο· ὀξεῖα

[ἡ ὀξεῖα ed. pr.] καὶ ἡ περισπωμένη. ἡ γὰρ βαρεῖα συλλαβικῶς [συλλαβικὸς ed. pr.] τόνος ἐστὶ καὶ οὐ κυρίως. — 10 Τί ἐστι τόνος; ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα. πόθεν τόνος; παρὰ τὸ τείνω τὸ τανύω (sic). [Deinde definitiones acuti, gravis, circumflexi praemittuntur eis, quae de locis cuiusque accentus docentur:] 11 Τί ἐστιν ὀξεῖα; ποιότης συλλαβῆς ἐπιτεταμένον ἔχουσα φθόγγον. τί ἐστι βαρεῖα; ποιότης συλλαβῆς ἀνειμένον ἔχουσα φθόγγον. τί ἐστι περισπωμένη; ποιότης συλλαβῆς φθόγγον ἔχουσα μέσον τοῦ ἐπιτεταμένου καὶ ἀνειμένου. — 14 Πόσοι τόποι τῆς ὀξείας; τρεῖς· ἡ λήγουσα, ἡ παραλήγουσα, ἡ προπαραλήγουσα. πῶς καλεῖται τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν; ὀξύτονον. πῶς τὸ ἐπὶ τῆς παραληγούσης; παροξύτονον καὶ βαρύτονον. πῶς τὸ ἐπὶ τῆς προπαραληγούσης; προπαροξύτονον καὶ βαρύτονον. — 18 Πόσοι τόποι τῆς περισπωμένης; δύο· ἡ λήγουσα καὶ ἡ παραλήγουσα. πῶς .... [= E^v] .... προπερισπώμενον καὶ βαρύτονον. — 21 Vide quae supra leguntur de accentibus propriis. praeterea haec erotemata de locis accentus gravis haec habent: ποῖός ἐστι τῆς βαρείας ὁ τόπος; πᾶσαι αἱ καθ᾽ὁμαλισμὸν ἀναγινωσκόμεναι συλλαβαί. τίθεται δὲ οὐκ ἐπὶ πασῶν, ἀλλὰ ἐπὶ μόνων τῶν ὀξυτονουμένων, ὅταν κατὰ συνέπειαν ἀναγινώσκωνται. — Περὶ χρόνων. Πόσοι χρόνοι; δύο· ἡ μακρὰ καὶ ἡ βραχεῖα. τί ἐστι χρόνος; σημείωσις ἐκτεινομένου ἢ συστελλομένου φωνήεντος. τί ἐστι μακρά; σημείωσις ἐκτεινομένου φωνήεντος. τί ἐστι βραχεῖα; σημείωσις συστελλομένου φωνήεντος. — 9 et 27 Περὶ πνευμάτων. Πόσα πνεύματα; δύο, ἡ δασεῖα καὶ ἡ ψιλή. τί ἐστι πνεῦμα; ποιότης συλλαβῆς τρέπουσα τὰ ψιλὰ σύμφωνα εἰς δασέα ἐν τῇ συνθέσει ἢ φυλάττουσα αὐτὰ οἷά εἰσι. τί ἐστι δασεῖα; ποιότης συλλαβῆς τρέπουσα τὰ ψιλὰ σύμφωνα εἰς δασέα ἐν τῇ συνθέσει. τί ἐστι ψιλή; ποιότης συλλαβῆς φυλάττουσα τὰ σύμφωνα ἐν τῇ συνθέσει οἷά εἰσι. πόθεν δασεῖα; παρὰ τὸ δα ἐπιτατικὸν μόριον καὶ τὸ σεύομαι τὸ ὁρμῶ. πόθεν ψιλή; παρὰ τὸ ψῶ τὸ λεπτύνω. — 9 et 27 Πόσα πάθη; τρία, ἡ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή. τί ἐστι πάθος; φωνῆς πεπονθυίας σημεῖον, τὰ ἔκθλιψιν παθόντα καὶ τὰ ἡνωμένα καὶ κεχωρισμένα δηλοῦν. τί ἐστιν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων, φωνήεντος μέν, οἷον τοῦτ᾽ ἔστι, φωνηέντων δέ, οἷον βούλομ᾽ ἐγώ. ἀντὶ πόσων φωνηέντων τίθεται ἡ ἀπόστροφος; ἀντὶ τεσσάρων· ἀντὶ βραχέος ᾰ, ἀντὶ τοῦ ο τοῦ μικροῦ, ἀντὶ βραχέος ῐ καὶ ἀντὶ τοῦ ε. ἀντὶ τοῦ ᾰ, οἷον ἄρα οὗτος ἄρ᾽ οὗτος. ἀντὶ τοῦ ο, οἷον τοῦτο ἐμόν τοῦτ᾽ ἐμόν. ἀντὶ βραχέος ῐ, οἷον ἐπὶ ἡμῖν ἐφ᾽ ἡμῖν. ἀντὶ τοῦ ε, οἷον φέρε εἰπέ φέρ᾽ εἰπέ. τί ἐστιν ὑφέν; σημεῖον συναφείας δύο λέξεων. πόθεν ὑφέν; παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ ἕν. τί ἐστιν ὑποδιαστολή; σημεῖον διαστάσεως λέξεων. πόθεν ὑποδιαστολή; παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ διαστέλλω τὸ διαχωρίζω.

E^t Περὶ προσῳδιῶν. 1 Δεῖ σε γινώσκειν, ὅτι προσῳδίαι εἰσὶ δέκα· ἡ ὀξεῖα ´, ἡ βαρεῖα `, ἡ περισπωμένη ⁀, ἡ μακρά —, ἡ βραχεῖα ◡, ἡ δασεῖα ῾, ἡ ψιλή ᾿, ἡ ἀπόστροφος ᾽, ἡ ὑφέν ‿, καὶ ἡ ὑποδιαστολή ,. — 7 Διαιροῦνται δὲ αὗται εἰς τέσσαρα· εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. — Λέγονται δὲ τόνοι ἡ ὀξεῖα, ἡ βαρεῖα καὶ ἡ περισπωμένη. — Χρόνοι δὲ ἡ μακρὰ καὶ ἡ βραχεῖα. τὸ μακρὸν δὲ διαιρεῖται εἰς δύο, εἰς φύσει καὶ θέσει. καὶ φύσει μέν ἐστι τὸ η καὶ τὸ ω μέγα καὶ πᾶσαι αἱ δίφθογγοι πλὴν τῆς αι καὶ οι διφθόγγου τῆς εὑρισκομένης ἐπὶ τῷ τέλει τῆς λέξεως τῶν ὀνομάτων, ὡς κοχλίαι καὶ πλόοι. αὗται γὰρ διὰ βραχέως (sic) λαμβάνονται. ἐν δὲ τοῖς εὐκτικοῖς ῥήμασιν, ὡς λέγοι, ἢ τοῖς ἐπιρρήμασιν, ὡς οἴκοι, μακρὰ τηρεῖται ἡ δίφθογγος. θέσει δὲ πᾶν φωνῆεν ἔχον πρὸ αὐτοῦ δύο σύμφωνα καὶ ὑπὸ τούτων ἐκτεινόμενον...... [lacuna duarum fere linearum] τὸ ε ψιλὸν καὶ τὸ ο μικρόν. — 9 et 27 Πνεύματα ἡ δασεῖα καὶ ἡ ψιλή. — 9 et 29 Πάθη ἡ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή.

ΠΕΡΙ ΤΕΧΝΗΣ. **Supplementum artis Dionysianae,** quod in L legitur ante primam paragraphum. *Τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων* [sic L, *ἐκ καταλήψεως ἐγγεγυμνασμένον* G, *ἐγκαταλήψεων ἐγγεγυμνασμένων* VH pag. 6, sed pag. 2 et 289 *ἐγκαταλήψεων συγγεγυμνασμένων*] *πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ* [*εὔχρηστον τῷ βίῳ* H pag. 289]. — *Τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο· αἱ μὲν γὰρ αὐτῶν εἰσι λογικαί, αἱ δὲ πρακτικαί. καὶ λογικαὶ μέν εἰσιν, οἷον γραμματική, ῥητορική, φιλοσοφική. πρακτικαὶ δέ, οἷον τεκτονική, χαλκευτικὴ καὶ αἱ τούτοις παραπλήσιοι.*

Eg *Τί ἐστι τέχνη; μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον. ἄλλως· κτῆμα τιμιώτατον καὶ κατὰ πολὺ χρησιμώτατον πᾶσι τοῖς ἐν τῷ βίῳ.* 2 *καὶ ἄλλως· σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. τί ἐστι σύστημα; τὸ πλῆθος οἱονεὶ ἑκάστου τεχνίτου τὸ ἐργαλεῖον. τί ἐστιν ἐγκαταλήψεων; τὸ ἐξ ἐφευρέσεων· οὐ γὰρ ἀθρόως αἱ τέχναι εὕρηνται, ἀλλ' ἄλλος ἄλλό τι* (sic) *εὗρεν, ὁ μὲν τρύπανον, ὁ δὲ τὸ εἰς τὸ κάλλος ἀποξέον τὰ ξύλα, καὶ ἄλλος ἄλλο καὶ οὕτω πάντα ὁμοῦ συνελθόντα ἀπετέλεσαν τὴν τέχνην. τί ἐστιν ἐγγεγυμνασμένων; φανερῶν καὶ δεδοκιμασμένων· γυμνάσαι γὰρ λέγομεν τὸ εἰς φῶς ἀγαγεῖν.* 5 *ποσαχῶς ἡ τέχνη; διχῶς, λογικὴ καὶ πρακτική. τί διαφέρει ἡ λογικὴ τῆς πρακτικῆς; διαφέρει, ὅτι τὴν μὲν λογικὴν μόνος ὁ ἄνθρωπος ἐπίσταται, τὴν δὲ πρακτικὴν καί τινα τῶν ἀλόγων ζῴων. πόθεν τέχνη; παρὰ τὸ τεύχω τὸ κατασκευάζω γίνεται τευχάνη καὶ ἐν συγκοπῇ τέχνη.*

Eb 2 *Τί ἐστι τέχνη; σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. πόθεν τέχνη; παρὰ τὸ ἔχειν καὶ τὸ νοῦς, ἐχονόη καὶ συγκοπῇ καὶ προσθήκῃ τοῦ τ τέχνη. ἕξιν γὰρ νοῦ σημαίνει ἡ τέχνη κατὰ Πλάτωνα.*

Et *Τί ἐστι τέχνη; μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον,* et post etymologiam *τέχνης*: *τί ἐστι μέθοδος; ἐξέτασις τοῦ νοῦ εἰς τὸ σύντομον. πόθεν ὠνομάσθη τέχνη; παρὰ τὸ ἔχειν καὶ τὸ νοῦς ἐχενόη καὶ συγκοπῇ καὶ προσθέσει τοῦ τ τέχνη.* post definitionem *μεθόδου*: *τί διαφέρει ἡ τέχνη τῆς ἐπιστήμης; διαφέρει ὅτι τέχνη λέγεται ἡ ἔν τισι σφαλλομένη· ἐπιστήμη ἡ ἐν μηδενὶ σφαλλομένη. καὶ πάλιν καθ' ἑτέρους τέχνη λέγεται ἡ διὰ χειρῶν ἐργαζομένη· ἐπιστήμη πᾶσα λογικὴ τέχνη, οἷον γραμματικὴ καὶ αἱ τοιαῦται.*

DIONYSIUS § 1. *ΠΕΡΙ ΓΡΑΜΜΑΤΙΚΗΣ. Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς* [*τοῖς π.* A] *τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. — Μέρη δὲ αὐτῆς ἐστιν ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, τέταρτον ἐτυμολογίας εὕρεσις, πέμπτον ἀναλογίας ἐκλογισμός, ἕκτον κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ* [*κρίσις ποιημάτων ἢ συγγραμμάτων* B].

Eg *Τί ἐστι γραμματική; τέχνη θεωρητικὴ καὶ πρακτικὴ τὸ εὖ λέγειν καὶ γράφειν διδάσκουσα ἡμᾶς· οὐ γὰρ πᾶς ὁ γράφων ἢ ὁ ἀναγινώσκων λέγεται γραμματικός, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς.* 1 *καὶ ἄλλως· ἐμπειρία τῶν παρὰ τοῖς ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπιπολὺ λεγομένων. τί ἐστιν ἐμπειρία; ἡ ἄλογος τριβὴ ἢ ἡ λογικὴ γνῶσις. τίνες λέγονται ποιηταί; οἱ τὰ ἔμμετρα γράψαντες.*

τίνες συγγραφεῖς; οἱ τὰ ἀφ᾽ ἑαυτῶν (sic) *γεγονότα καταλογάδην συγγραψάμενοι. τί ἐστι γραμματικός; ἐπιστήμων λέξεων ἢ εἰδήμων. πόθεν γραμματική; παρὰ τὸ γράμμα, ὃ δηλοῖ τὸ ποίημα. πόθεν γράμμα; παρὰ τὸ γλάπτω τὸ κολαίνω· οἱ γὰρ παλαιοὶ τὰ γράμματα τοῖς λίθοις ἐκόλαπτον. πόσα σημαίνει γράμμα; ἑπτά· γράμμα ὁ τόνος, ὁ χαρακτήρ, ἡ ἐπιστολή, τὸ γράμμα, τὸ ζωγράφισμα, τὸ ψήφισμα καὶ τὸ ποίημα. πόσα εἴδη τῆς γραμματικῆς; τέσσαρα· ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν. πόσα ὄργανα τῆς γραμματικῆς; τέσσαρα· γλωσσηματικόν, ἱστορικόν, μετρικόν, τεχνικόν. πόσα ὄργανα φωνητικά; τρία· γλῶσσα, ὀδόντες καὶ χείλη.* 2 *πόσα μέρη τῆς γραμματικῆς; ἕξ· .... τῶν ἐν τῇ τέχνῃ. Τί ἐστιν ἱστορία; παλαιῶν πράξεων ἀφήγησις. τί ἐστιν ἐτυμολογία; ἀνάπτυξις τῶν λέξεων, δι᾽ ἧς τὸ ἀληθὲς σαφηνίζεται. τί τὸ τέλος τῆς γραμματικῆς; τὸ μηδέποτε ἁμαρτάνειν περὶ μίαν λέξιν μήτε περὶ πλείονας. τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας σολοικισμός. τί ἐστι βαρβαρισμός; λέξις ἤτοι περὶ τὰ στοιχεῖα ἢ περὶ τὰς προσῳδίας ἡμαρτημένη. τί ἐστι σολοικισμός; ὁ τοῦ σώου λόγου αἰκισμός. τί διαφέρει ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ; διαφέρει, ὅτι ὁ μὲν βαρβαρισμὸς ἐν λέξει γίνεται, ὁ δὲ σολοικισμὸς ἐν λόγῳ. πόσα σημαίνει γλῶσσα; τρία, τὸ σῶμα, τὴν διάλεκτον καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. πόσαι διάλεκτοι; πέντε· Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολὶς καὶ κοινή. Τί ἐστι διάλεκτος; ἰδίωμα γλώττης.*

E[b] 1 *Τί ἐστι γραμματική; ἐμπειρία τῶν παρὰ .... ὡς ἐπιτοπολὺ λεγομένων. — πόθεν γραμματική; παρὰ τὸ γράμμα, τὸ δὲ γράμμα παρὰ τὸ γράφω. — πόσα ὄργανα τῆς γραμματικῆς; τέσσαρα, γλωσσηματικὸν..... καὶ τεχνικόν.* — 2 [Ante enumerationem instrumentorum grammaticae] *Πόσα μέρη τῆς γραμματικῆς; ἕξ· .... τῶν ἐν τῇ τέχνῃ. — Τί τὸ τέλος τῆς γραμματικῆς; τὸ μηδέποτε ἁμαρτάνειν μήτε περὶ .... τί ἐστι βαρβαρισμός; διαμαρτία περὶ λέξιν ἢ κατὰ στοιχεῖον ἢ κατὰ προσῳδίαν. κατὰ πόσους τρόπους γίνεται ὁ βαρβαρισμός; κατὰ τέσσαρας, κατὰ ἐναλλαγὴν στοιχείου, κατὰ πλεονασμὸν* [*λέξεων* add. ed. princeps], *κατὰ ἔνδειαν, ἢ κατὰ προσῳδίαν. τί ἐστι σολοικισμός; ἡ ἀκατάλληλος συμπλοκὴ τῶν λέξεων. κατὰ πόσους τρόπους γίνεται ὁ σολοικισμός; κατὰ ἕνδεκα· κατὰ πλεονασμὸν λέξεων, κατὰ ἔνδειαν, κατὰ ἐναλλαγήν, κατὰ γένος, κατὰ εἶδος, κατὰ ἀριθμόν, κατὰ πρόσωπον, κατὰ χρόνον, κατὰ διάθεσιν, κατὰ ἔγκλισιν καὶ κατὰ σχῆμα. Τί διαφέρει ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ; διαφέρει .... πόσα σημαίνει γλῶσσα; τέσσαρα· τὸ τοῦ λόγου ὄργανον, καὶ ἀπὸ τούτου τοὺς λόγους, ὡς πολύγλωσσον λέγομεν καὶ πολύλογον, τὴν διάλεκτον καὶ τὴν τῶν ἐθνῶν ἐνηλλαγμένην ὁμιλίαν. τί ἐστι διάλεκτος; ἰδίωμα γλώττης. πόσαι διάλεκτοι; πέντε· Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολὶς καὶ κοινή.*

E[t] 1 [De grammatica expositio sequitur in fine erotematum post caput de coniunctionibus] *Τί ἐστι γραμματική; ἐμπειρία τῶν παρὰ .... ὡς ἐπιτοπολὺ λεγομένων. — πόθεν παρήχθη; παρὰ τὸ γράμμα γέγονε καὶ γραμματικὴ καὶ γραμματικός.* — [Post distributionem in glossematicam hist. metr. techn. partem] *καὶ ἄλλως· πόσα μέρη τῆς γραμματικῆς; τέσσαρα· ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν. καὶ ἄλλως· πόσα μέρη τῆς γραμματικῆς; τέσσαρα, γλωσσηματικὸν ..... καὶ τεχνικόν.* 2 [Ante enumerationem instrumentorum grammaticae] *Πόσα μέρη .... ἐν τῇ τέχνῃ.* [Post definitionem *λόγου* in fine erotematum haec habet de barbarismo et soloecismo:] *Πόσαι ἀρεταὶ τοῦ λόγου; ἕξ· ἑλληνισμός, σαφήνεια, κυριολογία, συντομία, εὐσυνθεσία, εὐπρέπεια. πόσαι κακίαι τοῦ λόγου, ἀντικείμεναι τοῖς πρώτοις; ἕξ· βαρβαρισμός, ἀσάφεια, ἀκυριολογία, μακρολογία, κακοσυνθεσία, ἀπρέπεια. τί ἐστιν*

ἑλληνισμός; λέξις ὑγιὴς καὶ ἀδιάστροφος λόγου μερῶν συμπλοκὴ κατάλληλος. τί ἐστι βαρβαρισμός; λέξις ἡμαρτημένη περὶ τὴν τῶν ἑλληνιζόντων σαφήνειαν. τί διαφέρει βαρβαρισμὸς σολοικισμοῦ; διαφέρει, ὅτι ὁ μὲν σολοικισμὸς βλάπτει τὴν τάξιν τοῦ λόγου, ὁ δὲ βαρβαρισμὸς τὰ ἐπὶ τῆς λέξεως. κατὰ πόσους τρόπους γίνεται βαρβαρισμός; κατὰ ἐννέα· προσθέσει, ὡς Σωκράτην τῇ προσθέσει τοῦ ν. ἀφαιρέσει, ὡς τὸν Ἑρμῆ· χρὴ γὰρ λέγειν Ἑρμῆν. ἐναλλαγῇ, ὡς τὸ ἐβουλόμην εἰπεῖν ἠβουλόμην. μεταθέσει, ὡς τὸ εἰπεῖν Μιτυληναῖον διὰ ῑ καὶ ῡ ψιλοῦ καὶ η̄, ὅπερ ὀφείλει γράφεσθαι διὰ ῡ ψιλοῦ καὶ ῑ καὶ η̄ ἀπὸ Μύτωνος τοῦ κτίστου καλούμενον. συναλοιφῇ, ὡς τὸ χρήσασθαι τὸ (sic) *θάτερον ἐπὶ ἀρσενικοῦ, ὅπερ καὶ γράφεται ἐπὶ οὐδετέρου θάτερον ἀντὶ τοῦ ἕτερον. διαιρέσει, ὡς τὸ εἰπεῖν Πολυδεύκεα· οἱ γὰρ διαιροῦνται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει· Διογένεα δὲ καὶ Δημοσθένεα, ἐπειδὴ τὸν Διογένη καὶ Δημοσθένη γράφομεν. τόνῳ, ὡς τὸ εἰπεῖν ἐὰν λεγῶμαι. χρόνῳ, ὡς τὸ χρήσασθαι ὄφις τὸ φις μακρόν· τὰ γὰρ εἰς ις, εἴτε ἀρσενικὰ εἴτε θηλυκά, συστέλλει τὸ ῐ. πνεύματι, ὡς τὸ τιθέναι αὔριον εἰς τὸ αὖ δασεῖαν. — Περὶ σολοικισμοῦ. Σολοικισμὸς δὲ γίνεται κατὰ τρόπους ιε΄· παρὰ γένη, παρὰ ἀριθμούς, παρὰ πτώσεις, παρὰ εἴδη, παρὰ τὰ γενικὰ καὶ εἰδικά, παρὰ τὰ πάθη, παρὰ τὰ ἐνεργήματα, παρὰ τοὺς χρόνους, παρὰ τὰ πρόσωπα, παρὰ τὰς ἐγκλίσεις τῶν ῥημάτων, παρὰ τὰ ἄρθρα, παρὰ τὰς ἀντωνυμίας, παρὰ τὰς προθέσεις, παρὰ τὰ ἐπιρρήματα καὶ παρὰ τοὺς συνδέσμους. παρὰ μὲν οὖν γένος, ὡς παρ' Ὁμήρῳ· „δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι“ (ο 125). παρὰ ἀριθμούς, ὡς παρ' Ἡσιόδῳ· „τρεῖς δ' ἦν κεφαλαί“* (theog. 321) *ἀντὶ τοῦ ἦσαν. παρὰ πτώσεις, ὡς παρ' Ὁμήρῳ· „ἠέλιος“ (Γ 277) ἀντὶ τοῦ ὦ ἤλιε. παρὰ εἴδη, ὡς τὸ εἰπεῖν ἁπλοῦν ἀντὶ συγκριτικοῦ. παρὰ γενικὰ καὶ εἰδικά, ὡς παρ' Ὁμήρῳ· „πατὴρ ἀνδρῶν τε“ (Δ 68)· εἶδος μὲν γὰρ ἄνδρες, γένος δὲ ἄνθρωποι. παρὰ πάθη, ὡς εἴ τις λέγοι „οἰκοδομουμαι πύργον“ ἀντὶ τοῦ οἰκοδομῶ. παρὰ ἐνεργήματα, ὡς παρ' Ὁμήρῳ· „ῥέε δ' αἵματι γαῖα“ (Δ 451) ἀντὶ τοῦ ἐρρεῖτο. παρὰ πρόσωπα, ὡς τό· „δεδμήμεθα ἕκαστος“ ἀντὶ τοῦ δέδμηνται* (sic). *παρὰ χρόνους, ὡς τὸ εἰπεῖν ἀόριστον ἀντὶ μέλλοντος. παρὰ ἐγκλίσεις, ὡς εἴ τις ἐναλλάττοι εὐκτικὰ ὁριστικοῖς. παρὰ ἄρθρα, ὡς εἴ τις χρήσαιτο προτακτικὰ ἀντὶ ὑποτακτικῶν. ** παρὰ προθέσεις, ὡς εἴ τις παραχρήσαιτο πρόθεσιν. παρὰ ἐπιρρήματα, ὡς ὅταν χρήσαιτό τις ἀπαγορευτικὸν ἀντὶ ἀρνητικοῦ. παρὰ συνδέσμους, ὡς ὅταν τῷ μὲν μὴ ἐπενέγκῃ τὸν δέ.* —

DIONYSIUS § 2. *ΠΕΡΙ ἈΝΑΓΝΩΣΕΩΣ. Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. — Ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν· ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος εὐτόνως [ἐντόνως Α], τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς [εὐμελῶς* G; *εὐ* supra *ἐμ* BV], *τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρριπτεῖ καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησιν.*

Eg *Περὶ ἀναγνώσεως.* 1 *Τί ἐστιν ἀνάγνωσις; ποιημάτων . . . . . προφορά. ἄλλως· ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις. πόθεν ἀνάγνωσις; παρὰ τὸ γνῶ γνώσω γνῶσις καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀνάγνωσις.* — 2 *Πόσα εἴδη τῆς ἀναγνώσεως; τρία, ὑπόκρισις, προσῳδία, διαστολή. „ἀναγνωστέον“ γάρ, φησι, „καθ' ὑπόκρισιν . . . . διαστολήν.“ τί δεικνύεται ἐκ τῆς ὑποκρίσεως; ἡ ἀρετὴ*

τοῦ ἀναγινώσκοντος καὶ τοῦ ἀναγινωσκομένου. τί δεικνύεται ἐκ τῆς προσῳδίας; ἡ τέχνη τοῦ ἀναγινώσκοντος. τί ἐνορᾶται ἐκ τῆς ὑποδιαστολῆς; ὁ περιεχόμενος νοῦς. πῶς δεῖ τὴν τραγῳδίαν ἀναγινώσκειν; ἡρωϊκῶς. πῶς τὴν κωμῳδίαν; βιωτικῶς. πῶς τὰ ἐλεγεῖα; λιγυρῶς. πῶς τὸ ἔπος; εὐτόνως. τί ἐστι τραγῳδία; ἐπιτάφιον ποίημα. τί ἐστι κωμῳδία; μίμησις πράξεων διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. τί διαφέρει κωμῳδία τραγῳδίας; διαφέρει, ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν προσώπων διαλέγεται καὶ θρηνεῖ, ἡ δὲ κωμῳδία ἀεὶ γελᾷ καὶ ἀπήλλακται τῶν τῆς τραγῳδίας πάντων, ὥστε ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. πόθεν λύρα; παρὰ τὸ λύω, λύτρον τι οὖσα. ὁ γὰρ Ἑρμῆς ἐφεῦρε καὶ δέδωκεν (sic) αὐτὴν εἰς λύτρον.

DIONYSIUS § 3. *ΠΕΡΙ ΤΟΝΟΥ.* Τόνος ἐστὶν ἀπήχησις φωνῆς [φωνῆς ἀπήχησις VHA] ἐναρμονίου ἢ κατὰ ἀνάτασιν [ἀνάστασιν LG, sed in L prius σ paene totum erasum] ἐν τῇ ὀξείᾳ ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ ἢ κατὰ περίκλασιν [περίπλασιν VHA] ἐν τῇ περισπωμένῃ [pro ἢ LB ter habet ἡ]. 4

Eg Περὶ τόνου. 1 Τί ἐστι τόνος; ἀπήχησις φωνῆς ἐναρμονίου. τί ἐστιν ἀπήχησις; ὁ ἦχος καὶ ἡ προφορὰ καὶ ἡ προένεξις (sic). πόθεν τόνος; παρὰ τὸ τείνειν τὴν φωνήν. 2 πόσαι ἀπηχήσεις; τρεῖς· ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ.

DIONYSIUS § 4. *ΠΕΡΙ ΣΤΙΓΜΗΣ.* Στιγμαί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή. καὶ ἡ μὲν τελεία [καὶ ἡ μὲν τελεία om. scholia] στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον, ὑποστιγμὴ δὲ διανοίας μηδέπω ἀπηρτισμένης, ἀλλ' ἔτι ἐνδεούσης σημεῖον. — Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς; χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον. 5

Eg 2 Τί ἐστι στιγμή; διανοίας ἀπηρτισμένης σημεῖον. 1 πόσαι στιγμαί; τρεῖς . . . . ὑποστιγμή. Τί ἐστι τελεία; διανοίας ὁλοκλήρου περιτομή. 3 τί ἐστι μέση; σημεῖον . . . . παραλαμβανόμενον. τί ἐστιν ὑποστιγμή; διανοίας μηδέποτε ἀπηρτισμένης, ἀλλ' ἔτι ἐνδεοῦς σημεῖον. — 4 Τί διαφέρει; . . . . ὀλίγον. Ἰστέον ὅτι μετὰ τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία, μετὰ δὲ τὴν μέσην πολλάκις ἔσονται πολλαὶ μέσαι.

Eb Περὶ στιγμῆς. Τί ἐστι στιγμή; σημεῖον ἐπὶ τέλει ἐννοίας τιθέμενον, ἢ ἐπὶ τέλει κώλων ἀναπνοῆς χάριν ἢ ζητήσει τοῦ τέλους. πόσαι στιγμαί; τρεῖς· τελεία, μέση, ὑποστιγμή. τί ἐστι τελεία στιγμή; σημεῖον ἐπὶ τέλει ἐννοίας τιθέμενον. τί ἐστι μέση στιγμή; σημεῖον ἐπὶ τέλει ἐννοίας τιθέμενον ἀναπνοῆς χάριν. τί ἐστιν ὑποστιγμή; σημεῖον ἐπὶ τέλει κώλων τιθέμενον, μεθ' ὃ εὐθὺς ἡ τελεία ἐστὶ στιγμή. μετὰ μὲν οὖν τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία, μετὰ δὲ τὴν μέσην οὐκ εὐθὺς ἡ τελεία, ἀλλ' ἢ ἡ ὑποστιγμὴ ἢ ἑτέρα μέση.

DIONYSIUS § 5. *ΠΕΡΙ ῬΑΨῼΔΙΑΣ.* Ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ἐμπεριειληφός τινα ὑπόθεσιν. εἴρηται δὲ ῥαψῳδία, οἱονεὶ ῥαβδῳδία τις οὖσα, ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους ᾄδειν τὰ τοῦ Ὁμήρου ποιήματα [ante οἱονεὶ se legisse παρὰ τὸ ῥάπτειν ἢ testantur scholia et Armenius]. 4

Eg Περὶ ῥαψῳδίας. 1 Ῥαψῳδία ἐστὶ μέρος ποιήματος περιλαβὸν καὶ ἔχον ἐν ἑαυτῷ ὀλίγην τινὰ καὶ μικρὰν περιπέτειαν, ὡς ἡ ᾱ ἔχει ὀργὴν Ἀχιλέως (sic), ἡ β ἀπάτην ὀνείρου, καὶ ἡ γ Ἀλεξάνδρου καὶ Μενελάου μονομαχίαν. 2 πόθεν ῥαψῳδία; παρὰ τὸ ῥάβδος καὶ τὸ ᾠδή ῥαβδῳδία καὶ τροπῇ τῶν δύο συμφώνων εἰς ψ ῥαψῳδία. 2. 3 καὶ τί μετέχει; ὅτι,φασὶ, δαφνίναις ῥάβδοις περιήρχοντο καὶ ᾖδον τὰ Ὁμήρου ποιήματα. ἄλλως· παρὰ τὸ ῥάπτω τὸ συντίθημι. ὁ μέλλων ῥάψω καὶ ἐξ αὐτοῦ ῥαψῳδία, ὅτι συνερράφησαν ἐπὶ τοῦ τυράννου τῶν Ἀθηνῶν Πεισιστράτου τὰ Ὁμήρου ποιήματα, τὸ πρὶν σποράδην καὶ ὡς ἔτυχεν ἀναγινωσκόμενα. τί λέγεται ποίησις καὶ τί ποίημα; ποίησις μὲν πᾶσα ἡ Ἰλιάς, ποίημα δὲ ἡ ῥαψῳδία.

DIONYSIUS § 6. *ΠΕΡΙ ΣΤΟΙΧΕΙΟΥ.* Γράμματά ἐστιν εἰκοσιτέσσαρα ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ϖ. γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι. γράψαι γὰρ τὸ ξῦσαι παρὰ τοῖς ποιηταῖς, ὡς παρ' Ὁμήρῳ· „νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως“ (Λ 388). τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται διὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν. — Τούτων φωνήεντα μέν ἐστιν ἑπτά· ᾱ ε̄ η̄ ῑ ō ῡ ω̄ [καὶ ϖ VHA]. φωνήεντα δὲ λέγεται, ὅτι φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ. τῶν δὲ φωνηέντων μακρὰ μέν ἐστι [εἰσι VHA] δύο, η̄ καὶ ϖ, βραχέα δύο [δὲ δύο VHA], ε̄ καὶ ō [ε̄ ψιλὸν καὶ ō μικρόν VHA], δίχρονα τρία [δὲ τρία VHA], ᾱ ῑ ῡ. δίχρονα δὲ λέγεται, ἐπεὶ ἐκτείνεται καὶ συστέλλεται. προτακτικὰ φωνήεντα πέντε· ᾱ ε̄ η̄ ō ω̄. προτακτικὰ δὲ λέγεται, ὅτι προτασσόμενα τοῦ ῑ καὶ ῡ συλλαβὴν ἀποτελεῖ, οἷον αῑ αῡ. ὑποτακτικὰ δύο· ῑ καὶ ῡ. καὶ τὸ ῡ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ῑ, ὡς ἐν τῷ μυῖα καὶ ἅρπυια [VHA add. υἱός καὶ ἐν τοῖς ὁμοίοις]. — Δίφθογγοι δέ εἰσιν ἕξ· αῑ αῡ εῑ εῡ οῑ οῡ [VHA αῑ αῡ οῑ εῡ εῑ οῡ]. — Σύμφωνα δὲ τὰ λοιπὰ ἑπτακαίδεκα· β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. σύμφωνα δὲ λέγεται, ὅτι αὐτὰ μὲν καθ' ἑαυτὰ φωνὴν οὐκ ἔχει, συντασσόμενα δὲ μετὰ τῶν φωνηέντων φωνὴν ἀποτελεῖ. τούτων ἡμίφωνα μέν ἐστιν ὀκτώ· ζ ξ ψ λ μ ν ρ σ. ἡμίφωνα δὲ λέγεται, ὅτι παρ' ὅσον [ὅτι punctis notat B, testantur scholia] ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκεν ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς. — Ἄφωνα δέ ἐστιν ἐννέα· β γ δ κ π τ θ φ χ. ἄφωνα δὲ λέγεται, ὅτι μᾶλλον τῶν ἄλλων ἐστὶ κακόφωνα, ὥσπερ ἄφωνον λέγομεν τὸν τραγῳδὸν τὸν κακόφωνον [priorem articulum solus L praebet]. — Τούτων ψιλὰ μέν ἐστι τρία· κ π τ, δασέα [δὲ add. VHA] τρία· θ φ χ, μέσα δὲ τούτων τρία· β γ δ. μέσα δὲ εἴρηται, ὅτι τῶν μὲν ψιλῶν ἐστι δασύτερα, τῶν δὲ δασέων ψιλότερα. καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ, τὸ δὲ γ μέσον τοῦ κ καὶ χ, τὸ δὲ δ μέσον τοῦ θ καὶ τ [τοῦ τ καὶ τοῦ θ b]. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τῷ μὲν π τὸ φ [sic L^2B, τὸ μὲν π τῷ φ L^1, τὸ μὲν π καὶ φ G, τὸ μὲν φ τῷ π VHA] οὕτως· „ἀλλά μοι εἴφ' ὅπῃ ἔσχες“ [Hom. ι 279, ἰὼν εὐεργέα νῆα om. L^1, add. L^3 mg. et ceteri], τῷ δὲ κ τὸ χ [sic BH, τῷ δὲ κ τῷ χ L^1, sed supra prius τῷ ipsa prima manus scripsit ὁ, alterum τῷ L^x in τὸ mutavit, τὸ δὲ κ τῷ χ GVA]· „αὐτίχ' ὁ μὲν χλαῖναν“ [ε 229, τὲ χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς om. L^1, add. L^3 mg. et ceteri], τὸ δὲ θ τῷ τ [sic GBV, in L pro θ legitur φ, sed ab L^x facta ex alia littera, quae certo dispici iam nequit, τῷ δὲ θ τὸ τ HA]· „ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες“ [Γ 95, ἀκὴν ἐγένοντο σιωπῇ om. L^1, add. L^3 mg. et ceteri]. — Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία· ζ ξ ψ. διπλᾶ δὲ εἴρηται, ὅτι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ζ ἐκ τοῦ σ καὶ δ, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. — Ἀμετάβολα τέσσαρα· λ μ ν ρ. ἀμετάβολα δὲ

λέγεται, ὅτι οὐ μεταβάλλει [μεταβάλλεται BVHA] *ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὐδὲ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων [οὔτε* pro *οὐδὲ* VHA et addunt *οὔτε* ante *ἐν τοῖς μέλλουσι]. τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται.* — *Τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖά ἐστι πέντε* [post *ὀνομάτων* add. *ἀνεπεκτάτων κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν* L[2] mg. et ceteri]· *ν ξ ρ ς ψ, οἷον Δίων, Φοῖνιξ, Νέστωρ, Πάρις, Πέλοψ. θηλυκῶν δὲ ὀκτώ· α η ω ν ξ ρ ς ψ, οἷον Μοῦσα, Ἑλένη, Κλειώ, χελιδών, ἕλιξ, μήτηρ, Θέτις, λαῖλαψ. οὐδετέρων δὲ ἕξ· α ι ν ρ ς υ, οἷον ἅρμα, μέλι, δένδρον, ὕδωρ, δέπας, δόρυ. τινὲς δὲ προστιθέασι καὶ τὸ ο, οἷον ἐκεῖνο, τοῦτο, ἄλλο [ἐκεῖνο, τοῦτο* om. LGB, add. VHA]. *δυϊκῶν δὲ τρία· α ε ω, οἷον Ἀτρεῖδα, Ἕκτορε, φίλω. πληθυντικῶν δὲ τέσσαρα· ι ς α η, οἷον φίλοι, Ἕκτορες, βιβλία, βέλη.*

Eg *Περὶ στοιχείου. Τί ἐστι στοιχεῖον; φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος. ἄλλως· ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. πόθεν στοιχεῖον; παρὰ τὸ στείχω τὸ ἐν τάξει πορεύομαι. πόσα παρέπεται τῷ στοιχείῳ; τέσσαρα· ὄνομα, σχῆμα, χαρακτήρ, δύναμις.* — 1 *Πόσα γράμματα; εἰκοσιτέσσαρα·* 4 *καὶ πόσα στοιχεῖα; τὰ αὐτὰ καὶ στοιχεῖα καὶ γράμματα καλοῦνται. πότε λέγονται γράμματα καὶ πότε στοιχεῖα; ὅτε μὲν γράφονται, λέγονται γράμματα· ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. πόθεν ἄλφα; παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω, ἐξ οὗ καὶ „ἀνδρῶν ἀλφηστάων"* (Hom. ζ 8), *τῶν ἐφευρετῶν. διατί προτέτακται πάντων τῶν στοιχείων τὸ α; διότι ἀντιστρέφει ἀφ' ἑαυτοῦ ἀρχόμενον καὶ εἰς ἑαυτὸ καταλῆγον.* — 5 *Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα; πρῶτον εἰς δύο, εἰς φωνήεντα καὶ εἰς σύμφωνα. πόσα φωνήεντα; ἑπτά· α ε η ι ο υ ω καὶ διατί εἰσιν ἑπτά; κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων, τῶν πλανητῶν τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Ζεύς, Ἄρης, Ἥλιος, Ἑρμῆς, Σελήνη, Ἀφροδίτη καὶ ὁ Κρόνος. πόθεν φωνῆεν; παρὰ τὸ φῶ τὸ λέγω.* 6 *εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς τρία· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. πόσα μακρά; δύο· η καὶ ω μέγα. καὶ ποῖόν ἐστι μακρότερον; τὸ η, ἐπειδὴ οὐδέποτε ἐν τέλει λέξεων κείμενον τρίτην ἀπὸ τέλους ἐπιδέδωκε τὴν ὀξεῖαν· τὸ δὲ ω μέγα κείμενον ἐπὶ τέλους τρίτην ἀπὸ τέλους παρέχει τὴν ὀξεῖαν, οἷον Μενέλεως, Νικόλεως. πόσα βραχέα; β'· ε ψιλὸν καὶ ο μικρόν. καὶ ποῖόν ἐστι βραχύτερον; τὸ ο, ἐπειδὴ προςλαμβάνον τὸ ἰῶτα καὶ γινόμενον δίφθογγον τρίτην ἀπὸ τέλους ἐπιδέδωκε τὴν ὀξεῖαν, οἷον Κύπριοι. πόσα δίχρονα; τρία· α ι υ. διατί λέγονται δίχρονα; διότι ποτὲ μὲν ἐκτείνονται, ποτὲ δὲ συστέλλονται.* 8 *ἄλλως· εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά. πόσα προτακτικά; πέντε· α ε η ο ω. διατί λέγονται προτακτικά; διότι . . . . ἀποτελεῖ. πόσα ὑποτακτικά; δύο· ι καὶ υ. καὶ τὸ υ δὲ . . . . μυῖα καὶ ἅρπυια.* — 11 *Πόσαι δίφθογγοι; ἕξ· αι αυ οι ευ ει ου.* — *Καὶ ἄλλως· εἰς πόσα διαιροῦνται τὰ φωνήεντα; εἰς δύο· εἰς μεταβολικὰ καὶ ἀμετάβολα. πόσα ἀμετάβολα φωνήεντα; τέσσαρα· η ι υ ω. διατί καλοῦνται ἀμετάβολα; διότι οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· τὰ αὐτὰ γάρ εἰσι τοῖς τοῦ ἐνεστῶτος ἀρκτικοῖς, οἷον ἡγεμονεύω ἡγεμόνευον, ἰξεύω ἴξευον, ὑβρίζω ὕβριζον, ὠφελῶ ὠφέλουν. πόσα μεταβολικά; τρία· α ε ο· ὧν τὸ μὲν α εἰς η τρέπεται, οἷον ἁγιάζω ἡγίαζον· τὸ δὲ ο μικρὸν εἰς ω μέγα, οἷον ὀμνύω ὤμνυον· τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προςλαμβάνει. καὶ πάντοτε μὲν εἰς η· ἐλέγχω ἤλεγχον, πλὴν τῶν δεκατεσσάρων, ὀκτὼ δισυλλάβων καὶ τρισυλλάβων ἕξ. τὰ μὲν οὖν δισύλλαβά εἰσι ταῦτα· ἔχω εἶχον, ἕλω εἷλον τὸ λαμβάνω καὶ τὸ φονεύω, ἔθω εἶθον τὸ ἐξ ἔθους τι διαπράττομαι, ἔπω εἶπον τὸ λέγω καὶ τὸ ἀκολουθῶ, ἕω εἷον τὸ ἐνδύομαι, ἐξ οὗ καὶ εἷμα τὸ ἱμάτιον, ἐῶ εἴων τὸ συγχωρῶ, ἕλκω εἷλκον τὸ σύρω, ἕρπω εἷρπον τὸ βαδίζω. τὰ δὲ*

τρισύλλαβά εἰσι ταῦτα· ἐρύω εἴρυον, ἑρπύζω εἵρπυζον, ἐθίζω εἴθιζον, ἑστιῶ εἱστίων τὸ εὐώχουν, ἐργάζομαι εἰργαζόμην, ἑλκύω εἵλκυον. ἤρυον δὲ τὸ ἤντλουν καὶ ἤσθιον ἀντὶ τοῦ ἔτρωγον η. — 11 *Πόσα σύμφωνα;* δεκαεπτά· β γ δ κ π τ ϑ φ χ ζ ξ ψ λ μ ν ρ σ. διαιροῦνται δὲ ταῦτα εἰς δύο, εἰς ἡμίφωνα καὶ ἄφωνα. πόσα ἡμίφωνα; ὀκτώ· ζ ξ ψ λ μ ν ρ σ. διατί λέγονται ἡμίφωνα; παρόσον ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκε. — 15 *Πόσα ἄφωνα;* ἐννέα· β γ δ κ π τ ϑ φ χ. διατί λέγονται ἄφωνα; διότι μᾶλλον τῶν ἄλλων εἰσὶ κακόφωνα, ὥςπερ ἄφωνον τραγῳδὸν λέγομεν τὸν κακόφωνον. — 18 *Εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα;* εἰς τρία· εἰς ψιλά, εἰς δασέα καὶ εἰς μέσα. πόσα ψιλά; τρία· κ π τ. πόσα δασέα; τρία· ϑ φ χ. πόσα μέσα; τρία· β γ δ. διατί λέγονται μέσα; διότι τῶν μὲν . . . . ψιλότερα. καὶ ἔστι τὸ μὲν β . . . . τοῦ ϑ καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ τὸ π (sic), ὡς τό· „ἀλλά μοι εἴφ' ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα" (Hom. ι 279), τὸ δὲ χ τὸ κ, ὡς τό· „αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς" (ε 229), τὸ δὲ ϑ τὸ τ, ὡς τό· „ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ" (*Γ* 95). — 28 [Quae sequuntur de duplicibus et immutabilibus, leguntur supra post explicationem nominis semivocalium] *Εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα;* εἰς τρία· εἰς διπλᾶ, εἰς ἀμετάβολα καὶ εἰς σ ἄσημον. πόσα διπλᾶ; τρία· ζ ξ ψ. διατί λέγονται διπλᾶ; διότι ἓν ἕκαστον . . . . π καὶ σ. πόσα ἀμετάβολα; τέσσαρα· λ μ ν ρ. διατί λέγονται ἀμετάβολα; διότι οὐ μεταβάλλονται ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων οὐδὲ ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. πῶς οὐ μεταβάλλονται ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων; οἷον Νέστωρ Νέστορος, Θέων Θέωνος. πῶς οὐ μεταβάλλονται ἐν τοῖς μέλλουσι τῶν ῥημάτων; οἷον χαίρω χαρῶ, κρίνω κρινῶ. — 33 [Quae sequuntur traiecta sunt post caput περὶ λέξεως] *Πόσα τελικὰ τῶν ἀρσενικῶν ὀνομάτων στοιχεῖα;* πέντε· ν ρ σ ξ ψ, οἷον Δίων, Νέστωρ, Πάρις, Φοῖνιξ, Πέλοψ. πόσα τῶν θηλυκῶν; ὀκτώ· α ω η ν ρ σ ξ ψ, οἷον Μοῦσα, Ἐρατώ, Ἑλένη, χελιδών, μήτηρ, Θέτις, αὖλαξ, λαῖλαψ. καὶ πόσα τῶν οὐδετέρων; ἕξ· α ι ν ρ σ υ, οἷον βῆμα, μέλι, ξύλον, ὕδωρ, δέπας, πῶυ. τινὲς δὲ προςτιθεῖσι καὶ τὸ ο μικρόν, οἷον ἄλλο, τοῦτο, ἐκεῖνο.

E[v] 1 *Γίνωσκε ὅτι γράμματά εἰσι εἴκοσι καὶ τέσσαρα·* α β γ δ ε ζ η ϑ ι κ λ μ ν ξ ο π ρ σ τ υ φ χ ψ ω. — 5 *Τούτων τὰ μέν εἰσι φωνήεντα, τὰ δὲ σύμφωνα.* καὶ φωνήεντα μέν εἰσιν ζ'· α ε η ι ο μικρόν, υ ψιλὸν καὶ ω μέγα. σύμφωνα δέ εἰσι ιζ'· β γ δ ζ ϑ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. τῶν φωνηέντων τὰ μὲν εἰσι μαρκά γίνωσκε, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα. καὶ πόσα βραχέα; δύο· ε ψιλὸν καὶ ο μικρόν. καὶ πόσα μακρὰ; δύο· η καὶ ω μέγα. καὶ πόσα δίχρονα; τρία· α καὶ ι καὶ υ ψιλόν. δίχρονα δὲ λέγονται, διότι ποτὲ μὲν ἐκτείνονται, ποτὲ δὲ συστέλλονται. 8 *εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα;* εἰς δύο· εἰς προτακτικὰ καὶ ὑποτακτικά. καὶ προτακτικὰ μέν εἰσι ε'· α ε η ο μικρὸν καὶ ω μέγα. διατί λέγονται προτακτικά; διότι . . . . ἀποτελοῦσιν, ὡς αἱ δίφθογγοι. ὑποτακτικὰ δέ εἰσι δύο· ι καὶ υ. ἐνίοτε δὲ καὶ τὸ υ προτακτικόν ἐστιν, ὡς ἐν τῷ μυῖα καλἄρπυια. — 11 *Πόσαι δίφθογγοι;* ἕξ· αι αυ οι ευ ει ου. — *Πόσα ἀμετάβολα;* γίνωσκε ὅτι φωνήεντα ἀμετάβολά εἰσι τέσσαρα· η ι υ ψιλὸν καὶ ω μέγα. ἀμετάβολα δὲ λέγεται, διότι . . . . παρῳχημένοις, οἷον . . . . ὠφέλουν. πόσα μεταβολικά; μεταβολικὰ δέ εἰσι τρία . . . . τρέπεται, τὸ δὲ ο . . . . οἷον ἀκούω ἤκουον, ὀμνύω ὤμνυον. τὸ δὲ ε . . . . τρέπεται, ὡς τὸ ἐλέγχω ἤλεγχον. ποτὲ δὲ . . . . εἰς η τρέπεται, πλὴν δεκατεσσάρων τινῶν· ἔχω εἶχον, ἕλω τὸ λαμβάνω εἷλον, ἔθω τὸ ἐξ ἔθους τι ποιῶ εἴθον, ἔπω τὸ λέγω εἶπον, ἕω τὸ ἐνδύομαι καὶ καθέζομαι εἷον, ἐῶ τὸ συγχωρῶ εἴων, ἕλκω τὸ σύρω εἷλκον, ἕρπω τὸ βαδίζω εἷρπον, ἐρύω εἴρυον, ἑρπύζω τὸ βαδίζω εἵρπυζον, ἐθίζω εἴθιζον, ἑστιῶ εἱστίων τὸ εὐώχουν, ἑλκύω εἵλκυον [om. ἐργάζομαι]. — 11 *Πόσα σύμφωνα;* ιζ'· β γ δ ζ ϑ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. — 15 *Τὰ δὲ ἄφωνα,* οἷον β . . . . χ. — 18 *Εἰς πόσα διαιροῦνται ταῦτα τὰ ἐννέα ἄφωνα;*

εἰς τρία . . . . ψιλότερα. — [Quae sequuntur de duplicibus et immutabilibus, leguntur supra post enumerationem consonantium] *Τούτων τὰ μέν εἰσι διπλᾶ, οἷον ζ ξ ψ. ὧν τὸ μὲν ζ σύγκειται ἐκ τοῦ σ καὶ δ . . . . π καὶ σ. τὰ δὲ ἀμετάβολά εἰσιν, οἷον λ μ ν ρ.*

E[b] *Περὶ στοιχείου. Τί ἐστι στοιχεῖον; ἀφ' οὗ πρώτου γίνεταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. πόθεν στοιχεῖον; παρὰ τὸ στείχω τὸ ἐν τάξει πορεύεσθαι* [*ἐν* habet ed. pr., om. Wald.]. — 1 *Πόσα στοιχεῖα λόγου; εἰκοσιτέσσαρα· τὰ αὐτὰ δὲ καὶ γράμματα λέγονται.* — 5 *Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα; εἰς δύο· εἰς φωνήεντα καὶ εἰς σύμφωνα. πόσα φωνήεντα; ἑπτά· α ε η ι υ ψιλόν, ο μικρὸν καὶ ω μέγα. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς τρία· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. πόσα μακρά; δύο· η καὶ ω μέγα. πόσα βραχέα; δύο· ε ψιλὸν καὶ ο μικρόν. πόσα δίχρονα; τρία· α ι υ. καὶ ἄλλως· εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς δύο· εἰς προτακτικὰ καὶ ὑποτακτικά. πόσα προτακτικά; τρία· α ε ο, καταχρηστικῶς δὲ καὶ τὸ η καὶ τὸ ω μέγα. διατί λέγονται προτακτικά; διότι προτασσόμενα τοῦ ι καὶ υ τὰς διφθόγγους ἀποτελεῖ. πόσα ὑποτακτικά; δύο· ι καὶ υ. καὶ τὸ υ δὲ . . . . μυῖα καὶ ἅρπυια, υἱός καὶ ἐν τοῖς ὁμοίοις.* — 11 [Quae sequuntur inveniuntur ante *πόσα ὑποτακτικά;*] *καὶ πόσαι δίφθογγοι; ἕξ· αι αυ ει ευ οι ου. πόσαι δίφθογγοι καταχρηστικῶς; πέντε· καὶ τὸ η μετὰ τοῦ προσγεγραμμένου ι δίφθογγόν* [*δίφθογγός* ed. pr.] *ἐστι, καὶ τὸ αὐτὸ μετὰ τοῦ υ, καὶ τὸ ω μέγα μετὰ τοῦ ι, καὶ τὸ αὐτὸ μετὰ τοῦ υ, καὶ τὸ α μετὰ τοῦ προσγεγραμμένου ι. καὶ πάλιν τῶν φωνηέντων τὰ μέν εἰσι μεταβολικά, τὰ δὲ ἀμετάβολα. καὶ πόσα μεταβολικά; τρία· α ε ο. ὧν τὸ μὲν α εἰς η τρέπεται . . . . πάντοτε μὲν εἰς η τρέπεται πλὴν δεκατεσσάρων τινῶν. πόσα ἀμετάβολα; τέσσαρα· η ι υ ψιλὸν καὶ ω μέγα. διατί λέγονται ἀμετάβολα; διότι . . . . οἷον ἠχῶ ἤχουν, ἱξεύω . . . . ὠφέλουν.* — 11 *Πόσα σύμφωνα; δεκαεπτά· β . . . .* [= E[v]] *. . . . ψ. εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; εἰς δύο . . . . ρ σ.* — 15 *Πόσα ἄφωνα; . . . . κακόφωνά εἰσιν.* — 18 *Εἰς πόσα διαιροῦνται . . . . β γ δ. καὶ ἔστι τὸ μὲν β . . . . καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ τῷ π, τὸ δὲ χ τῷ κ* [ed. Wald. *τῷ δὲ κ τὸ χ*], *τὸ δὲ θ τῷ τ.* — 28 [Quae sequuntur de duplicibus et immutabilibus, leguntur supra post distributionem consonantium] *Εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα . . . . καὶ εἰς τὸ σ. πόσα διπλᾶ; . . . . διότι ἐκ δύο συμφώνων σύγκειται ἕκαστον αὐτῶν, τὸ μὲν ζ . . . . π καὶ σ.* — 30 *Πόσα ἀμετάβολα; . . . . διότι οὐ μεταβάλλονται οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων. ἐν μὲν τοῖς μέλλουσι τῶν ῥημάτων, οἷον ψάλλω ψαλῶ, νέμω νεμῶ, κρίνω κρινῶ, εἴρω τὸ λέγω ἐρῶ· ἐν δὲ ταῖς κλίσεσι τῶν ὀνομάτων, οἷον Νέστωρ Νέστορος, Ἕλλην Ἕλληνος.* — *Ποῖα σύμφωνα ποίων προηγεῖται; τὰ διπλᾶ οὐδέποτε ἢ προτάσσονται ἢ ὑποτάσσονται, εἰ μὴ ἐν καταλήξει μερῶν λόγου, οἷον σφίγξ. τὸ σ μετὰ τῶν ἀμεταβόλων ἐνίοτε μὲν προτάσσεται, οἷον σμῆνος· ἐνίοτε δὲ ὑποτάσσεται ἐν καταλήξει μερῶν λόγου, οἷον ἅλς, Τίρυνς. μετὰ δὲ τῶν ἀφώνων ἀεὶ προτάσσονται* [*προτάσσεται* ed. pr.]. *ἀμετάβολον οὐδέποτε ἀμεταβόλου* [*ἀμ. ἀμ. οὐδ.* ed. pr.] *προηγεῖται κατὰ σύλληψιν, πλὴν τὸ μ τοῦ ν, ὡς ἐν τῷ μνεία καὶ ἀμνός. τὰ ἀμετάβολα οὐδέποτε προηγεῖται τῶν ἀφώνων. τὰ ἄφωνα δὲ ἀεὶ τῶν ἀμεταβόλων ἢ ἐν προτακτικῇ συλλαβῇ, οἷον Κλεοπάτρα, ἢ ἐν ὑποτακτικῇ, οἷον ὀχμάζω. τῶν δὲ ἀφώνων τὰ μὲν ψιλὰ ψιλῶν ἡγεῖται, τὰ δὲ δασέα δασέων καὶ τὰ μέσα μέσων, πλὴν τὸ μὲν β καὶ γ τοῦ δ προηγεῖται ἐν προτακτικῇ συλλαβῇ καὶ ὑποτακτικῇ, οὐδέποτε δὲ τὸ δ αὐτῶν. καὶ τὸ κ καὶ π τοῦ τ ὁμοίως καὶ τὸ φ καὶ χ τοῦ θ κατὰ τὸν αὐτὸν λόγον.*

Et *Ἰστέον ὅτι τὰ εἰκοσιτέσσαρα γράμματα διαιροῦνται εἰς δύο, εἰς σύμφωνα καὶ φωνήεντα. καὶ σύμφωνα μέν εἰσι δεκαεπτά· β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. φωνήεντα δὲ ἑπτά· α ε η ι ο μικρόν, υ ψιλὸν καὶ ω μέγα. τὰ γοῦν δεκαεπτὰ σύμφωνα διαιροῦνται εἰς δύο· εἰς ἡμίφωνα καὶ ἄφωνα . . . . ρ σ. πόσα ἄφωνα; ἐννέα· β . . . . χ. ταῦτα πάλιν διαιροῦνται εἰς ψιλά . . . . τοῦ θ καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ τὸ π, τὸ δὲ κ τὸ χ, τὸ δὲ θ τὸ τ.* — [Quae sequuntur de duplicibus et immutabilibus, leguntur supra post distributionem consonantium.] *Ταῦτα δὲ πάλιν διαιροῦνται εἰς τρία· εἰς διπλᾶ, εἰς ἀμετάβολα καὶ εἰς τὸ σ. καὶ διπλᾶ μέν εἰσι τρία* . . . . [= **E**b] . . . . *π καὶ σ. ἀμετάβολα δὲ τέσσαρα· λ μ ν ρ.*

DIONYSIUS § 7. *ΠΕΡΙ ΣΥΛΛΑΒΗΣ. Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων* [sic LG, *συμφώνου* BVHA] *μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον καρ* [sic LG, *πᾶν* V, *πᾶς* HA], *βοῦς· καταχρηστικῶς δὲ καὶ ἡ ἐξ ἑνὸς φωνήεντος, οἷον α η* [sic LGB, *ἀ ἡ* VA, *α η* H].

Eg *Περὶ συλλαβῆς.* 1—3 *Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος, οἷον καρ, βοῦς· καταχρηστικῶς δὲ καὶ ἡ ἐξ ἑνὸς φωνήεντος, οἷον α ε.*

Eb *Περὶ συλλαβῆς. Τί ἐστι συλλαβή; συνέλευσις τοὐλάχιστον δύο γραμμάτων· καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται, οἷον α ε. — Εἰς πόσα διαιρεῖται ἡ συλλαβή; εἰς τρία· εἰς μακράν, εἰς βραχεῖαν καὶ εἰς κοινήν. κατὰ πόσους τρόπους γίνεται ἡ συλλαβή; κατὰ πολλούς· ἢ ἐξ ἑνὸς συμφώνου καὶ ἑνὸς φωνήεντος, οἷον κατάλογος· καὶ τὸ ἀνάπαλιν, ἤγουν ἐξ ἑνὸς φωνήεντος καὶ ἑνὸς συμφώνου* [*ἤγουν — συμφώνου* om. ed. pr.], *οἷον ἄρμα* [ed. pr. *ὅς*]. *ἢ ἐξ ἑνὸς συμφώνου καὶ δύο φωνηέντων, οἷον ταῦρος· καὶ τὸ ἀνάπαλιν, οἷον οὖς* [ed. pr. *ἅλς*]. *ἢ ἐκ δύο συμφώνων καὶ ἑνὸς φωνήεντος, οἷον κράτος· καὶ τὸ ἀνάπαλιν, οἷον ἅλς* [haec quinque verba om. ed: pr.]. *ἢ ἐκ δύο συμφώνων καὶ δύο φωνηέντων, οἷον πλεῖστον* [ed. pr. add. *πιστεύω*], *φύσιν ἔχοντος τοῦ ἑνὸς συμφώνου προηγεῖσθαι τοῦ ἑτέρου. ἢ ἐκ τριῶν συμφώνων καὶ ἑνὸς φωνήεντος, οἷον στρατός. ἢ ἐκ τριῶν συμφώνων καὶ δύο φωνηέντων, οἷον στρουθός* [*ἢ ἐκ τριῶν — στρουθός* habet ed. pr. post *σφίγξ*, quod mox sequitur]. *ἢ ἐξ ἑνὸς συμφώνου καὶ ἑνὸς φωνήεντος καὶ ἑνὸς αὖθις συμφώνου, οἷον σής* [*ἢ ἐξ — σής* om. ed. pr.]. *ἢ ἐξ ἑνὸς συμφώνου καὶ δύο φωνηέντων καὶ ἑνὸς* [ed. pr. add. *αὖθις*] *συμφώνου, οἷον βοῦς. ἢ ἐξ ἑνὸς συμφώνου καὶ ἑνὸς φωνήεντος καὶ δύο συμφώνων, οἷον σάρξ. ἢ ἐκ δύο συμφώνων καὶ ἑνὸς φωνήεντος καὶ ἑνὸς συμφώνου, οἷον πράττω. ἢ ἐκ δύο συμφώνων καὶ δύο φωνηέντων καὶ ἑνὸς συμφώνου, οἷον προῖξ* [quae post *βοῦς* usque ad *προῖξ* leguntur om. ed. pr.]. *ἢ ἐκ δύο συμφώνων καὶ ἑνὸς φωνήεντος καὶ δύο αὖθις* [adverbium om. ed. pr.] *συμφώνων, οἷον σφίγξ* [hic sequuntur in ed. pr. ei modi, quorum exempla sunt *στρατός, στρουθός*]. *ἢ ἐκ τριῶν συμφώνων καὶ ἑνὸς φωνήεντος καὶ ἑνὸς συμφώνου, οἷον στραγγαλιῶδες. ἢ ἐκ τριῶν συμφώνων καὶ ἑνὸς φωνήεντος καὶ δύο συμφώνων, οἷον στράγξ, ἀφ' οὗ τὸ στραγγαλιῶδες καὶ στραγγουρία. ἢ καὶ τριῶν συμφώνων καὶ δύο φωνηέντων καὶ ἑνὸς συμφώνου, οἷον τοὺς οἴστρους, τοὺς οἰκτρούς. ἢ ἐκ δύο φωνηέντων, οἷον αἷμα* [eos modos, quorum exempla sunt *στραγγαλιῶδες, στράγξ, οἴστρους, αἷμα,* om. ed. pr.]. *ἢ ἐξ ἑνὸς φωνήεντος καταχρηστικῶς.*

DIONYSIUS § 8. *ΠΕΡΙ ΜΑΚΡΑΣ ΣΥΛΛΑΒΗΣ.* *Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε· καὶ φύσει μὲν ἤτοι ὅτ' ἂν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως, ἢ ὅτ' ἂν ἔχῃ ἕν τι τῶν διχρόνων κατ' ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης, ἢ ὅτ' ἂν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴας. θέσει δὲ ἤτοι ὅτ' ἂν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς, ἢ ὅτ' ἂν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἀγρός. ἢ ὅτ' ἂν εἰς ἁπλοῦν σύμφωνον λήγῃ* [quae post *εἰς δύο σύμφωνα λήγῃ* usque ad hoc alterum *λήγῃ* leguntur om. VHA], *καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, οἷον ἔργον, ἢ ὅτ' ἂν διπλοῦν σύμφωνον ἐπιφέρηται, οἷον ἔξω* [quae post *ἔργον* usque ad *ἔξω* leguntur om. L¹G, add. mg. Lˣ, inserta habent BVHA], *ἢ ὅτ' ἂν εἰς διπλοῦν σύμφωνον λήγῃ, οἷον Ἄραψ* [*ἅπαξ A*].

Eg *Περὶ μακρᾶς συλλαβῆς.* 1—9 *Μακρὰ . . . . φύσει μὲν ὅταν . . . . Αἴας. θέσει δὲ ἤτοι ὅταν φωνήεντι ἐπιφέρηται δύο σύμφωνα . . . . Ἄραψ, ἢ ὅταν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς.*

Eb *Περὶ μακρᾶς συλλαβῆς. Τί ἐστι μακρὰ συλλαβή; ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν διφθόγγων.* — 1—9 *Κατὰ πόσους τρόπους γίνεται ἡ μακρὰ συλλαβή; κατὰ ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε. καὶ φύσει μὲν ἤτοι ὅταν . . . . παραλαμβανόμενον, οἷον πρᾶγμα, ἢ ὅταν . . . . Αἴας. θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς, ἢ ὅταν δύο σύμφωνα ἐπιφέρηται, οὐκέτι ἄφωνον πρὸ ἀμεταβόλου, ἢ δύο ἀμετάβολα, οἷον ἵσταμαι, ἢ* [quae post *θέσει δὲ ἤτοι* usque ad hoc ultimum *ἢ* leguntur, habet ed. pr. post *ἔργον*, quod mox sequitur, partim simul discrepans ab verbis Walderianae] *ὅταν εἰς σύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, οἷον ἔργον, ἔκλειψις* [*ἔκλειψις* om. ed. pr. et habet post *ἔργον*: *ἢ ὅταν φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἀγρός, ἢ ὅταν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς*], *ἢ ὅταν εἰς διπλοῦν σύμφωνον λήγῃ, οἷον Ἄραψ, ἢ ὅταν διπλοῦν σύμφωνον ἐπιφέρηται, οἷον ἔξω.*

DIONYSIUS § 9. *ΠΕΡΙ ΒΡΑΧΕΙΑΣ ΣΥΛΛΑΒΗΣ.* *Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, ἤτοι ὅτ' ἂν ἔχῃ ἕν τι τῶν φύσει βραχέων, οἷον βρέφος, ἢ ὅτ' ἂν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης.*

Eg [Quae sequuntur de brevi syllaba, in his erotematis ante praecepta de longa syllaba posita sunt.] 1—3 *Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, ἢ ὅταν . . . . βρέφος, ἢ ἕν τι . . . Ἄρης.*

Eb *Περὶ βραχείας συλλαβῆς.* 1—3 *Τί ἐστι βραχεῖα συλλαβή; ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ δίχρονον κατὰ συστολὴν παραλαμβανόμενον.*

DIONYSIUS § 10. *ΠΕΡΙ ΚΟΙΝΗΣ ΣΥΛΛΑΒΗΣ.* *Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς, ἤτοι ὅτ᾽ ἂν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον „οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν“ (Γ 164)· ἢ ὅτ᾽ ἂν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον καθ᾽ ἓν ἄφωνόν* [*ἡγούμενον ἕν τι τῶν ἀφώνων* B] *ἐστιν, οἷον „Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ“ (Τ 287)· ἢ ὅτ᾽ ἂν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον „Νέστορα δ᾽οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης“ (Ξ 1).*

Eg *Κοινὴ συλλαβὴ . . . . τὸ δὲ ἡγούμενον ἓν τῶν ἀφώνων ἐστίν, οἷον . . . . ἔμπης“.*

Eb *Περὶ κοινῆς συλλαβῆς. Τί ἐστι κοινὴ συλλαβή; ἡ δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα* [*ἢ βρ.* ed. Wald.]. — 1—7 *Κατὰ πόσους τρόπους γίνεται ἡ κοινὴ συλλαβή; κατὰ τρεῖς, ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγουσα καὶ εἰς μέρος λόγου καταπεραιοῖ, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος* [*συμφώνου* Wald.] *ἀρχομένην, οἷον „οὔ τί μοι . . . . αἴτιοί εἰσιν“, ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην* [*εἶτα — ἀρχομένην* om. Wald.], *οἷον „Νέστορα . . . . ἔμπης“, ἢ ὅταν βραχεῖ φωνήεντι ἢ διχρόνῳ κατὰ συστολὴν παραλαμβανομένῳ ἐπιφέρηται δύο σύμφωνα, ἐν συλλήψει δηλονότι* [haec tria verba om. ed. pr.], *τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον ἓν τῶν ἀφώνων, οἷον „Πάτροκλέ . . . . θυμῷ.“*

DIONYSIUS § 11. *ΠΕΡΙ ΛΕΞΕΩΣ.* *Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου* [*ἐλάχιστον* post *λόγου* VHA, deinde in eisdem novus titulus subsequitur, qui in melioribus codicibus deest]. — *Λόγος δέ ἐστι πεζῆς λέξεως σύνθεσις* [sic LGB; B in mg. rubro haec scripta habet: *ὁ δὲ μοσχο* (i. e. *Μοσχόπουλος*) *πεζῆς τε καὶ ἐμμέτρου λέξεως;* atque *τε καὶ ἐμμέτρου* inserta habent post *πεζῆς* VHA] *διάνοιαν αὐτοτελῆ δηλοῦσα.* — *Τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ* [copulam om. VHA]· *ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος* [*καὶ σύνδεσμος* HA]· *ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται* [*ἡ γὰρ — ὑποβέβληται* om. VHA; post *ὑποβέβληται* add. GB: *τῶν δὲ μερῶν τοῦ λόγου κλίνεται μὲν ε᾽· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία· ἄκλιτα δὲ γ᾽· πρόθεσις, ἐπίρρημα, σύνδεσμος*].

Eg *Περὶ λέξεως.* 1 *Τί ἐστι λέξις; μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.* — 3 *Τί ἐστι λόγος; πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα.* — 5 *Πόσα μέρη λόγου; ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος.* — *Ποσαχῶς ὁ λόγος εἴρηται; ἑπταχῶς· λόγος ἡ αἰτία, καὶ ἡ φροντίς, καὶ ὁ ὁρισμός, ὁ θεός, ὁ ἀπόλογος, καὶ λόγος ὁ προφορικός τε καὶ ἐνδιάθετος.*

Ev *Περὶ τῶν ὀκτὼ τοῦ λόγου μερῶν.* 5 *Πόσα μέρη τοῦ λόγου; ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος.*

Eb Περὶ λέξεως. 1 Τί ἐστι λέξις; μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. 3 [Sequitur in edit. Walder. titulus Περὶ λόγου] Τί ἐστι λόγος; πεζῆς τε καὶ ἐμμέτρου λέξεως σύνθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα. — Πόθεν λόγος; παρὰ τὸ λέγω. — 5 Πόσα μέρη τοῦ λόγου; ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος [καὶ σύνδ. ed. Wald.]. — 8 Τούτων πόσα κλίνονται καὶ πόσα οὐ κλίνονται; κλίνονται μὲν πέντε· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία· οὐ κλίνονται δὲ τρία· πρόθεσις, ἐπίρρημα, σύνδεσμος.

Et [Post capita de coniunctionibus, grammatica, arte] 3 Τί ἐστι λόγος; πεζῆς τε καὶ ἐμμέτρου λέξεως σύνθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα. — Πόθεν λόγος; παρὰ τὸ λέγω. Πόσαι ἀρεταὶ τοῦ λόγου κ τ λ., vide quae supra leguntur pag. 9sq. Capita autem quae sunt de nomine verbo ceteris orationis partibus post caput de litteris sequuntur his praemissis: Περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου. 5 Πόσα μέρη τοῦ λόγου; ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα καὶ σύνδεσμος. hunc autem partium ordinem Tubingensia erotemata non servant, sed more recentiorum Byzantinorum antecedit de articulis expositio ceteris capitibus.

DIONYSIUS § 12. ΠΕΡΙ ὈΝΟΜΑΤΟΣ. [In L antecedunt haec: ἀρχὴ τῶν η' μερῶν τοῦ λόγου] Ὄνομά ἐστι μέρος λόγου πτωτικὸν σῶμα ἢ πρᾶγμα σημαῖνον, σῶμα μέν, οἷον λίθος, πρᾶγμα δέ, οἷον παιδεία, κοινῶς τε καὶ ἰδίως λεγόμενον, κοινῶς μέν, οἷον ἄνθρωπος, ἵππος, ἰδίως δέ, οἷον Σωκράτης [Πλάτων add. T]. — Παρέπεται δὲ τῷ ὀνόματι πέντε· γένη, εἴδη σχήματα, ἀριθμοί, πτώσεις. — Γένη μὲν οὖν εἰσι τρία· ἀρσενικόν, θηλυκόν, οὐδέτερον [καὶ οὐδ. TVHA]. ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύο [sic LGBT, sed in B supra ἄλλα rubro additum καὶ; τούτοις καὶ τὸ ἄνθρωπος, ἵππος ἕτερα δύο VHA], κοινόν τε καὶ ἐπίκοινον, κοινὸν μέν, οἷον ἵππος, κύων [sic L; κοινὸν μέν, οἷον ἄνθρωπος, ἵππος GB et sine οἷον T; καὶ κοινὸν μέν, ὡς εἴρηται, τὸ ἄνθρωπος καὶ ἵππος VHA], ἐπίκοινον δέ, οἷον χελιδών, ἀετός [ἀετός, χελιδὼν B]. — Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν οὖν ἐστι τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον Γῆ· παράγωγον δὲ τὸ ἀφ' ἑτέρου τὴν γένεσιν ἐσχηκός, οἷον Γαιήϊος (Hom. η 324). — Εἴδη δὲ παραγώγων ἐστὶν ἑπτά· πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικὸν [hoc nomen in mg. habet V, omnino om. HA, post παρώνυμον collocat b], ὑποκοριστικόν, παρώνυμον, ῥηματικὸν [καὶ ῥημ. VHA]. — Πατρωνυμικὸν μὲν οὖν ἐστι τὸ κυρίως [κυρίως τὸ BVHA] ἀπὸ πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνων [τὸ om. VHA], οἷον Πηλείδης, Αἰακίδης ὁ Ἀχιλλεύς [καὶ ante Αἰακίδης add. BT, Πηλ. ὁ Ἀχ. καὶ Αἰακ. VHA]. τύποι δὲ τῶν πατρωνυμικῶν ἀρσενικῶν μὲν [ὀνομάτων pro μὲν VHA] τρεῖς· ὁ εἰς δης, ὁ εἰς ων, ὁ εἰς αδιος, οἷον Ἀτρείδης, Ἀτρείων καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος Ὑρράδιος· Ὕρρα γὰρ παῖς ὁ Πιττακός. θηλυκῶν δὲ οἱ ἴσοι τρεῖς [δὲ τύποι εἰσὶ τρεῖς TVHA]· ὁ εἰς ις, οἷον Πριαμίς, καὶ [coniunctionem om. BTVHA] ὁ εἰς ας, οἷον Πελιάς, ὁ εἰς νη, οἷον Ἀδρηστίνη [Hom. E 412, Ἀδραστίνη VHA]. ἀπὸ δὲ μητέρων [coniunctionem om. VHA] οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ' οἱ νεώτεροι. — Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός [Lx supra πεπτωκός vocis syllabam primam scripsit ἐμ], ἐμπεριειλημμένον τοῦ κτήτορος, οἷον [hoc om. VH] „Νηλήϊοι ἵπποι“ [Hom. Λ 597, Νηλήιοι L¹GB, Νηλείοι Lx, Νηλήειοι T, Νήλειοι VHA], „Ἑκτόρεος χιτών“ [Hom. B 416, Ἑκτόρειος L²A, Ἑκτόρεως L¹, Ἑκτόρεος GTH, Ἑκτώριος B], Πλατωνικὸν βιβλίον. — Συγκριτικὸν

δέ ἐστι τὸ τὴν σύγκρισιν ἔχον ἑνὸς [hoc om. HA] πρὸς ἕνα ὁμογενῆ, ὡς Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος, ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ὡς Ἀχιλλεὺς ἀνδρειότερος των Τρώων [utroque loco ἰσχυρότερος pro ἀνδρειότερος VHA]. τῶν δὲ συγκριτικῶν τύποι εἰσὶ τρεῖς· ὁ εἰς τερος, οἷον ὀξύτερος, βραδύτερος, καὶ ὁ εἰς ων καθαρόν, οἷον βελτίων, καλλίων [καλλίων, βελτίων T], καὶ ὁ εἰς σων [ων LGB], οἷον κρείσσων, ἥσσων. — Ὑπερθετικὸν δέ ἐστι τὸ κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει. τύποι δὲ αὐτοῦ εἰσι δύο· ὁ εἰς τατος, οἷον ὀξύτατος, βραδύτατος [alterum exemplum om. BVHA], καὶ ὁ εἰς τος [sic MLGB, στος TVHA], οἷον ἄριστος, μέγιστος [μέγιστος, ἄριστος VHA]. — Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν [δηλοῦν ἀσυγκρίτως HA], οἷον ἀνθρωπίσκος, λίθαξ, μειρακύλλιον. — Παρώνυμον δέ ἐστι τὸ παρ' ὄνομα ποιηθέν [post ὄνομα add. ἢ ἐξ ὀνόματος V, ἢ ὡς ἐξ ὀνόματος HA], οἷον Θέων, Τρύφων. — Ῥηματικὸν δέ ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένον, οἷον Φιλήμων, Νοήμων. — Σχήματα δὲ ὀνομάτων ἐστὶ [εἰσὶ GBTVHA] τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον Μέμνων, σύνθετον δέ, οἷον Ἀγαμέμνων, παρασύνθετον δέ, οἷον Ἀγαμεμνονίδης, Φιλιππίδης [alterum exemplum om. T]. τῶν δὲ συνθέτων [ὀνομάτων add. BT] διαφοραί εἰσι τέσσαρες· ἃ μὲν γὰρ αὐτῶν εἰσιν ἐκ δύο τελείων, ὡς Χειρίσοφος· ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡς Σοφοκλῆς· ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος· ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντος, ὡς Περικλῆς. — Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός [καὶ πληθ. TVHA]· ἑνικὸς μέν, ὁ Ὅμηρος [οἷον ὁ Ὅμ. G, οἷον Ὅμηρος BHA, Ὅμηρος V], δυϊκὸς δέ, τὼ Ὁμήρω [ante τὼ add. οἷον B], πληθυντικὸς δέ, οἱ Ὅμηροι [οἷον pro οἱ BHA]. εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενοι, οἷον δῆμος, χορός, ὄχλος [tertium exemplum om. BTVHA], καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν· ἑνικῶν μέν, ὡς Ἀθῆναι [αἱ Ἀθῆναι VHA], Θῆβαι· δυϊκῶν δέ, ὡς ἀμφότεροι. — Πτώσεις ὀνομάτων εἰσὶ πέντε· ὀρθή, γενική, δοτική, αἰτιατική, κλητική [καὶ κλητική TVHA]. λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ἡ δὲ γενικὴ κτητική τε [τε om. GTVHA] καὶ πατρική, ἡ δὲ δοτικὴ ἐπισταλτική, ἡ δὲ αἰτιατικὴ κατ' αἰτιατικήν [sic MLG, videtur intercidisse σημασίαν, sicut κατ' αἰτιατικὴν σημασίαν λέγεται praebet commentariolus Byzantius; κατ' αἰτικὴν αἰτίαν B[1], ατι et λέγεται supra add. B[2]; κατ' αἰτίαν TVHA], ἡ δὲ κλητικὴ προσαγορευτική. — Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται [αὐτὰ om. VHA, καὶ αὐτὰ om. T; προσαγορεύονται B]· κύριον, προσηγορικόν, ἐπίθετον, πρός τι ἔχον, ὡς πρός τι ἔχον [ὡς — ἔχον om. L atque HA], ὁμώνυμον, συνώνυμον, φερώνυμον [om. ML, συνώνυμον, φερώνυμον om. T], διώνυμον, ἐπώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀόριστον, ἀναφορικόν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, περιληπτικόν, ἐπιμεριζόμενον, περιεκτικόν [ὡς περιεκτικόν add. B, sed subtus rubro addita sunt puncta atheteseos], πεποιημένον, γενικόν, ἰδικόν [sic M et L[x], qui ἰδικὸν τακτικόν ab L[1] omissa in superiore marqine addidit; ceteri εἰδικόν], τακτικόν, ἀριθμητικόν, ἀπολελυμένον, μετουσιαστικόν [μετουσιαστικόν, ἀπολελυμένον VHA; ἀπολ. καὶ μετ. BT]. — Κύριον μὲν οὖν ἐστι τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνον, οἷον Ὅμηρος [Ὅμ. om. T], Σωκράτης. — Προσηγορικὸν δέ ἐστι τὸ τὴν κοινὴν οὐσίαν σημαῖνον, οἷον ἄνθρωπος, ἵππος [τὴν ante κοινὴν om. VHA]. — Ἐπίθετον δέ ἐστι τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς· ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός [καὶ ἀπὸ τῶν ἐκτός VHA]· ἀπὸ μὲν ψυχῆς, ὡς [ὡς τὸ VHA] σώφρων, ἀκόλαστος [καὶ ἀκόλαστος VHA]. ἀπὸ δὲ σώματος, ὡς [ὡς τὸ VHA] ταχύς, βραδύς· ἀπὸ δὲ τῶν ἐκτός, ὡς [ὡς τὸ VHA] πλούσιος, πένης. —

Πρός τι ἔχον δέ ἐστιν [*δὲ* post *τι* VHA], *ὡς πατήρ υἱός, φίλος, δεξιός.* — *Ὡς πρός τι ἔχον δέ ἐστιν* [*δὲ* post *τι* VHA], *ὡς νὺξ ἡμέρα* [*θάνατος ζωή* add. codicum ML recentiores manus et ceteri]. — *Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενον, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ Αἴας ὁ Ὀϊλέως* [sic BT et *τοῦ* inserto HA, *ὁ Ἰλέως* G], *ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάσσιος καὶ μῦς γηγενής.* — *Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ, ξίφος, μάχαιρα, σπάθη, φάσγανον* [*φάσγανον, σπάθη* T]. — *Φερώνυμον δέ ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Τισαμενὸς καὶ Μεγαπένθης.* — *Διώνυμον δέ ἐστιν ὀνόματα δύο καθ' ἑνὸς κυρίου τεταγμένα, οἷον Ἀλέξανδρος ὁ καὶ Πάρις, οὐκ ἀναστρέφοντος τοῦ λόγου· οὐ γὰρ εἴ τις Ἀλέξανδρος, οὗτος καὶ Πάρις* [ad *διώνυμον* ML habent in margine addita *Νεοπτόλεμος, Πύρρος;* ad prius *Πάρις* ibidem *Σκάμανδρος, Ξάνθος*]. — *Ἐπώνυμον δέ ἐστιν, ὃ καὶ διώνυμον καλεῖται, τὸ μεθ' ἑτέρου κυρίου καθ' ἑνὸς λεγόμενον, ὡς Ἐνοσίχθων ὁ Ποσειδῶν καὶ Φοῖβος ὁ Ἀπόλλων.* — *Ἐθνικὸν δέ ἐστι τὸ ἔθνους δηλωτικόν, ὡς Φρύξ, Γαλάτης.* — *Ἐρωτηματικὸν δέ ἐστιν, ὃ καὶ πευστικὸν καλεῖται, τὸ κατ' ἐρώτησιν λεγόμενον, οἷον τίς, ποῖος, πόσος, πηλίκος.* — *Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίως λεγόμενον, οἷον ὅστις ὁποῖος, ὁπόσος, ὁπηλίκος.* — *Ἀναφορικὸν δέ ἐστιν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοιοῦτος, τοσοῦτος τηλικοῦτος.* — *Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος σημαῖνον, οἷον δῆμος, χορός, ὄχλος.* — *Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, οἷον ἑκάτερος, ἕκαστος* [ante *ἑκάτερος* add. *ἕτερος* T]. — *Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον* [*τι* MLGB, *τὸ* TVHA], *οἷον δαφνών, παρθενών.* — *Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον, οἷον φλοῖσβος, ῥοῖζος, ὀρυγμαδός.* — *Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον ζῷον, φυτόν.* — *Ἰδικὸν* [sic MLGVH, *εἰδικὸν* BTA] *δέ ἐστι τὸ ἐκ γένους διαιρεθέν, οἷον βοῦς, ἵππος, ἄμπελος, ἐλαία.* — *Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦν, οἷον πρῶτος, δεύτερος, τρίτος.* — *Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνον, οἷον εἷς, δύο, τρεῖς.* — *Ἀπολελυμένον δέ ἐστιν ὃ καθ' ἑαυτὸ νοεῖται, οἷον θεός, λόγος* [*ἀπολελυμένον* post *μετουσιαστικὸν* legitur in VHA]. — *Μετουσιαστικὸν δέ ἐστι τὸ μετέχον οὐσίας τινός, οἷον πύρινος, δρύϊνος, ἐλάφινος* [sic MLGB, *ἀμμώδης, δρ., πύρ.* T, *χρύσειος, ἀργύρειος* VHA]. — *Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος, ἐνέργεια μέν, ὡς κριτὴς ὁ κρίνων, πάθος δέ, ὡς κριτὸς ὁ κρινόμενος.*

Eg *Περὶ ὀνόματος.* 2 *Τί ἐστιν ὄνομα; μέρος .... οἷον Σωκράτης, Πλάτων. ἄλλως ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν οὐσίαν σημαῖνον. πόθεν ὄνομα; παρὰ τὸ νέμω τὸ μερίζω γίνεται νόμα καὶ πλεονασμῷ τοῦ ο ὄνομα. πόσα σημαίνει τὸ νέμω; πέντε· τὸ μερίζω, ἐξ οὗ καὶ νόμος καὶ ὄνομα, τὸ πᾶσι μεμερισμένον· τὸ βόσκω, ἐξ οὗ καὶ νομὴ ἡ βοσκή· τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ πορεύεται· τὸ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις· τὸ οἰκῶ, ἐξ ου καὶ τό· „οἵ θ' Ὑρίην τ' ἐνέμοντο καὶ Αὐλῖδα* (sic) *πετρήεσσαν"* (Hom. B 496). *ὄνομα τὸ ο μικρόν, διατί; πᾶς ἀναδιπλασιασμὸς διὰ βραχέος ἐκφέρεται. εἰς τὸ ο ψιλήν, διατί; τὸ ο πρὸ τοῦ ν ψιλοῦται· ὄνυξ, ὄναρ, ὄνομα. εἰς τὸ ο ὀξεῖαν, διατί; πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. τὸ νο μικρόν, διατί; ἐκ τοῦ νέμω· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασι. τὸ μα βραχύ, διατί; τὰ εἰς α λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλει τὸ α καὶ τῷ μ παραλήγεται καὶ διὰ τοῦ τος*

κλίνεται. ὄνομα πόσα σημαίνει; δύο· σῶμα καὶ πρᾶγμα. τί ἐστι σῶμα; πᾶν τὸ θεωρούμενον καὶ κρατούμενον ὑπὸ τῆς ἀφῆς τοῦ ἀνθρώπου λέγεται σῶμα, οἷον λίθος, ξύλον. τί ἐστι πρᾶγμα; πᾶν τὸ μήτε θεωρούμενον μήτε κρατούμενον ὑπὸ τῆς ἀφῆς τοῦ ἀνθρώπου λέγεται πρᾶγμα, οἷον θεός, ἄγγελος, ψυχή. διατί προτερεύει τὸ ὄνομα τοῦ ῥήματος; διότι τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα πρᾶγμα. — 4 Πόσα παρέπεται τῷ ὀνόματι; πέντε· γένη . . . . πτώσεις. — 5 Πόσα γένη; τρία· ἀρσενικόν, θηλυκόν, οὐδέτερον. τί ἐστι γένος; πτωτικῆς λέξεως χαρακτήρ, σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερον, ἄδηλόν τι διακρίνων. πόθεν γένος; παρὰ τὸ γείνω τὸ γεννῶ. τί ἐστιν ἀρσενικὸν γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, οἷον ὁ Αἴας. τί ἐστι θηλυκὸν γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οἷον ἡ Μοῦσα. τί ἐστιν οὐδέτερον γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό, οἷον τὸ βῆμα. 6 τινὲς δὲ προστιθέασι καὶ ἄλλα δύο γένη, κοινόν τε καὶ ἐπίκοινον. τί ἐστι κοινόν; τὸ τὰς μὲν πτώσεις ἔχον τὰς αὐτάς, ὑποτασσόμενον δὲ ἰδίοις ἄρθροις, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ κύων καὶ ἡ κύων, ὁ ἵππος καὶ ἡ ἵππος. τί ἐστιν ἐπίκοινον; τὸ ἐν μιᾷ φωνῇ λεγόμενον μετὰ ἑνὸς ἄρθρου ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ καὶ σημαῖνον τὰ δύο γένη, οἷον ὁ κόραξ, ὁ ἀετός, ἡ χελιδών. — 9 Πόσα εἴδη; δύο, πρωτότυπον καὶ παράγωγον. 10 τί ἐστι πρωτότυπον; τὸ πρωτόθετον ὑπάρχον καὶ μὴ ἔχον προκάταρξίν τινα ἢ αἰτίαν τῆς ἑαυτοῦ γενέσεως, οἷον Γῆ. τί ἐστι παράγωγον; τὸ . . . . ἐσχηκός, οἷον γήϊνος. τί ἐστιν εἶδος; φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσαν (sic) πρώτην ἢ δευτέραν θέσιν. πόθεν εἶδος; παρὰ τὸ εἴδω τὸ ὁμοιῶ. ποσαχῶς τὸ εἶδος; διχῶς, κατὰ φωνὴν καὶ κατὰ σημασίαν. κατὰ φωνὴν μέν, ὡς τὰ ἑπτὰ εἴδη τῶν παραγώγων· κατὰ σημασίαν, ὡς τὰ ὑποπεπτωκότα τῷ ὀνόματι, περὶ ὧν φησιν ὁ τεχνικός (pag. 636, 8b)· „ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται". — 11 Πόσα εἴδη τῶν παραγώγων; ἑπτά· πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, ῥηματικόν. — 14 Τί ἐστι πατρωνυμικόν; τὸ κυρίως ἀπὸ . . . . καὶ ἀπὸ προγόνων, οἷον Πηλείδης, Αἰακίδης. 16 πόσοι τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν; τρεῖς . . . . Πιττακός. 18 πόσοι τύποι τῶν πατρωνυμικῶν θηλυκῶν; τρεῖς· ὁ εἰς ις, ὁ εἰς ας, ὁ εἰς νη, οἷον Πριαμίς, Πελιάς, Ἀδρηστίνη. 20 ἀπὸ γοῦν μητέρων . . . . νεώτεροι. — 22 Τί ἐστι κτητικόν; τὸ . . . . ἐμπεπτωκός . . . . οἷον Νήλειοι ἵπποι, Ἑκτόρειος χιτών, Πλατωνικὸν βιβλίον. — 25 Τί ἐστι συγκριτικόν; . . . . Τρώων. 28 πόσοι τύποι τῶν συγκριτικῶν; τρεῖς, ὁ εἰς τερος καὶ ὁ εἰς ων καθαρὸν καὶ ὁ εἰς σσων, οἷον ἀνδρειότερος, βελτίων, κρείσσων. — 30 Τί ἐστιν ὑπερθετικόν; τὸ . . . . συγκρίσει. 31 πόσοι τύποι τῶν ὑπερθετικῶν; δύο, ὁ εἰς τατος καὶ ὁ εἰς στος, οἷον βραδύτατος, ἄριστος. — 33 Τί ἐστιν ὑποκοριστικόν; τὸ μείωσιν . . . . μειρακύλλιον. — 34 Τί ἐστι παρώνυμον; τὸ παρ' ὀνόματος ποιηθέν, οἷον Θέων, Τρύφων. — 36 Τί ἐστι ῥηματικόν; τὸ ἀπὸ . . . . Νοήμων. — 36 Πόσα σχήματα; τρεῖς (sic) . . . . Φιλιππίδης. πόθεν σχῆμα; παρὰ τὸ σχῶ σχήσω ἔσχηκα σχῆμα. τί ἐστι σχῆμα; λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει. — 41 Πόσοι ἀριθμοί; τρεῖς· ἑνικός, δυϊκὸς καὶ πληθυντικός. τί ἐστιν ἑνικὸς ἀριθμός; ὁ τὸ ἓν σημαίνων. τί ἐστι δυϊκός; ὁ τὰ δύο σημαίνων. τί ἐστι πληθυντικός; ὁ τὰ τρία καὶ πολλὰ σημαίνων. πόθεν ἀριθμός; παρὰ τὸ ἀλίζω (sic) τὸ συναθροίζω ἀλιθμός καὶ ἀριθμός. τί ἐστιν ἀριθμός; σωρεία μονάδων ἢ μονάδων σύνθεσις. — 46 Πόσαι πτώσεις; πέντε· . . . . καὶ κλητική. πόσαι κυρίως πτώσεις; τέσσαρες· ἡ γὰρ ὀρθὴ οὐκ ἔστι κυρίως πτῶσις, ἀλλὰ καταχρηστικῶς. τί ἐστι πτῶσις; ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος κίνησις γινομένη. διατί προτέτακται ἡ ὀρθὴ τῶν ἄλλων πτώσεων; διότι ὀρθὸν καὶ εὐθύτατον λόγον ἀποτελεῖ. ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική, διότι ἐξ αὐτῆς ποιοῦμεν τὰ γένη καὶ τὰ κτήματα καὶ τὰς πατρίδας, οἷον Ἀριστάρχου γένος, Ἀριστάρχου ἀγρός,

Ἀριστάρχου οἶκος. ἡ δὲ δοτικὴ ἐπισταλτική, διότι ἐξ αὐτῆς ποιοῦμεν τὰς δόσεις καὶ τὰς ἐπιστολάς, οἷον Ἀριστάρχῳ δίδωμι, Ἀριστάρχῳ ἐπιστέλλω. ἡ δὲ αἰτιατικὴ κατ' αἰτίαν, διότι αἰτίαν δηλοῖ, οἷον διὰ τὸν Ἀρίσταρχον ἐτιμήθην καὶ διὰ τὸν Ἀρίσταρχον ὑβρίσθην. ἡ δὲ κλητικὴ προςαγορευτική, διότι καλεῖ (?) καὶ προςαγορεύει, οἷον „Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον" (B 434). — 51 Ὑποπέπτωκε δὲ . . . . συνώνυμον, διώνυμον, φερώνυμον . . . . εἰδικόν . . . . ἀπολελυμένον, μετουσιαστικόν. — 59 Τί ἐστι κύριον; τὸ τὴν ἰδίαν . . . . Σωκράτης. — 60 Τί ἐστι προςηγορικόν; τὸ τὴν κοινὴν καὶ καθόλου οὐσίαν . . . . ἵππος. — 61 Τί ἐστιν ἐπίθετον; τὸ ἐπὶ . . . . ψόγον. — 65 Τί ἐστι πρός τι ἔχον; ὡς υἱός πατήρ, φίλος, δεσπότης. — 65 Τί ἐστιν ὡς πρός τι ἔχον; ὡς νὺξ ἡμέρα, θάνατος ζωή. — 67 Τί ἐστιν ὁμώνυμον; τὸ κατὰ . . . . τιθέμενον, ὡς ἐπὶ . . . . ὁ Ἰλέως, ἐπὶ . . . . γηγενής. — 69 Τί ἐστι συνώνυμον; τὸ ἐν . . . . φάσγανον, σπάθη. — [Φερωνύμου et διωνύμου explicationes sequuntur inverso ordine]. 70 Τί ἐστι φερώνυμον; τὸ ἀπὸ . . . . Μεγαπένθης. — 71 Τί ἐστι διώνυμον; ὀνόματα . . . . Πάρις. — 74 Τί ἐστιν ἐπώνυμον, ὃ καὶ διώνυμον λέγεται; τὸ μεθ' ἑτέρου . . . . Ἀπόλλων. — 76 Τί ἐστιν ἐθνικόν; τὸ . . . . Γαλάτης. — 76 Τί ἐστιν ἐρωτηματικόν; τὸ κατ' ἐρώτησιν . . . . πηλίκος. — 77 Τί ἐστιν ἀόριστον; τὸ . . τῷ . . . . ὁπηλίκος. — 78 Τί ἐστιν ἀναφορικόν; . . . . τηλικοῦτος. — 80 Τί ἐστι περιληπτικόν; τὸ τῷ . . . . ὄχλος. — 81 Τί ἐστιν ἐπιμεριζόμενον; τὸ ἐκ . . . . ἕκαστος. — 82 Τί ἐστι περιεκτικόν; τὸ ἐμφαῖνον . . . . παρθενών, ἐλαιών, μουσεῖον, κουρεῖον. — 83 Τί ἐστι πεποιημένον; τὸ παρὰ . . . . ὀρυγμαδός. — 84 Τί ἐστι γενικόν; τὸ . . . . φυτόν. — 85 Τί ἐστιν εἰδικόν; τὸ ἐκ τοῦ γενικοῦ διαιρεθέν . . . . ἐλαία. — 86 Τί ἐστι τακτικόν; τὸ . . . . τρίτος. — 87 Τί ἐστιν ἀριθμητικόν; τὸ . . . . τρεῖς. — 88 Τί ἐστιν ἀπολελυμένον; ὃ . . . . λόγος, ἄγγελος, ψυχή. — 89 Τί ἐστι μετουσιαστικόν; τὸ μετέχον . . . . πύρινος, δρυϊνος.

E^v 2 Καὶ τί ἐστιν ὄνομα; μέρος . . . . Πλάτων. — 4 Πόσα παρέπεται . . . . πτώσεις. — 5 Πόσα γένη; . . . . οὐδέτερον. τί ἐστι γένος; . . . . οὐδέτερόν τι διακρίνων. τί ἐστιν ἀρσενικόν; . . . . βῆμα. τί ἐστι κοινὸν γένος; . . . . ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ κύων καὶ ἡ κύων. τί ἐστιν ἐπίκοινον γένος; τὸ ἐν μιᾷ φωνῇ μετὰ ἑνὸς ἄρθρου λεγόμενον ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ καὶ σημαῖνον τὰ δύο γένη, τό τε ἀρσενικὸν καὶ τὸ θηλυκόν, οἷον ὁ κόραξ, ἡ κορώνη, ὁ ἀετός, ἡ χελιδών. — Περὶ εἴδους. 9 πόσα . . . . γεννήσεως . . . . γένεσιν . . . . φωνῆς εἰκὼν τὴν ἐν αὐτῷ δηλοῦσαν (sic) πρώτην ἢ δευτέραν θέσιν. — 11 Πόσα εἴδη . . . . παρώνυμον καὶ ῥηματικόν. — 14 Τί ἐστι πατρωνυμικόν; τὸ ἀπὸ πατρὸς . . . . καὶ ἀπὸ προγόνων, οἷον Πηλείδης, Αἰακίδης. 16 πόσοι . . . . τῶν πατρωνυμικῶν; τρεῖς· ὁ εἰς ης, οἷον Ἀτρείδης, ὁ εἰς ων, οἷον Ἀτρείων καὶ ὁ εἰς αδιος, οἷον Ὑρράδιος, ὁ τοῦ Ὕρρα παῖς. 18 πόσοι τύποι τῶν πατρωνυμικῶν θηλυκῶν; τρεῖς· ὁ εἰς ις, οἷον Πριαμμίς, ἡ τοῦ Πριάμμου (sic) θυγάτηρ· ὁ εἰς ας, οἷον Πελιάς, ἡ τοῦ Πέλοπος (sic), καὶ εἰς νη, οἷον Ἀδρηστίνη, ἡ τοῦ Ἀδράστου θυγάτηρ. — 22 Τί ἐστι κτητικόν; τὸ . . . . οἷον Ἑκτόριος χιτών, Πλατωνικὸν βιβλίον. — 25 Τί ἐστι συγκριτικόν; τὸ σύγκρισιν ἔχον ἢ πρὸς ἕνα τινὰ ἢ πρὸς πολλούς, ὡς Ἀχιλλεὺς ἰσχυρότερος τῶν Τρώων. 28 πόσοι τύποι τῶν συγκριτικῶν; τρεῖς· ὁ εἰς τερος, οἷον ὀξύτερος, ὁ εἰς σσων, οἷον κρείσσων [intercidit initium expositionis de superlativis] καὶ ὁ εἰς τατος, οἷον ὀξύτατος. ἔστι καὶ ὁ εἰς στος, οἷον κάλλιστος. — 33 Τί ἐστιν ὑποκορεστικόν (sic); τὸ μείωσιν τοῦ πρωτοτύπου δηλοῦν ἀσυγκρίτως, οἷον ἀνθρωπίσκος, μειρακύλλιον. — 34 Τί ἐστι παρώνυμον; τὸ παρ' ὄνομα ποιηθέν, οἷον Θέων. — 36 Τί ἐστι ῥηματικόν; τὸ ἀπὸ . . . . Φιλήμων. — 36 Πόσα σχήματα; . . . . ἁπλοῦν μέν, οἷον ἄγω, σύνθετον, οἷον εἰςάγω, παρασύνθετον δέ, οἷον παρεισάγω. — 41 Πόσοι ἀριθμοί; τρεῖς . . . . σημαίνων, οἷον Αἴας. τί . . . . σημαίνων, οἷον Αἴαντε. τί . . . . σημαίνων, οἷον Αἴαντες. — 46 Πόσαι

πτώσεις; . . . . δοτική καὶ αἰτιατικὴ καὶ κλητική. ὀρθὴ μέν, οἷον Αἴας, γενικὴ δέ, οἷον του Αἴαντος, δοτική, οἷον τῷ Αἴαντι, αἰτιατική, οἷον τὸν Αἴαντα, κλητική, οἷον ὦ Αἶαν. δυϊκαὶ πτώσεις εἰσὶ δύο· τὼ Αἴαντε τοῖν Αἰάντοιν. καὶ ἡ κλητικὴ αὐτοῦ ὦ Αἴαντε. πληθυντικαὶ δὲ πτώσεις εἰσὶ πέντε, οἷον οἱ Αἴαντες, τῶν Αἰάντων, τοῖς Αἴασι, τοὺς Αἴαντας, ὦ Αἴαντες. γίνωσκε ὅτι πτώσεις εἰσὶ κυρίως δέκα· αἱ γὰρ κλητικαὶ οὐ λέγονται κυρίως πτώσεις, ἀλλὰ καταχρηστικῶς. — 51 *Ὑποπέπτωκε τῷ ὀνόματι. γίνωσκε ὅτι ιη' τινὰ ὑποπέπτωκε τῷ ὀνόματι, ἃ καὶ εἴδη προσαγορεύονται, κύριον, προσηγορικόν, ἐπίθετον, πρός τι* [in definitionibus subsequentibus post *πρός τι* sequitur *ὡς πρός τι*], *ὁμώνυμον, συνώνυμον* [in definitionibus post *συνώνυμον* sequitur *πολυώνυμον*], *παρώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀναφορικόν, ὃ καὶ . . . . καλεῖται, περιληπτικον, πεποιημένον, ἐθνικόν* [lege *γενικόν*], *εἰδικόν, τακτικόν, ἀριθμητικόν, ἀπολελυμένον καὶ μετουσιαστικόν.* — 59 *Τί ἐστι κύριον; τὸ τὴν ἰδίαν . . . . οἷον Σωκράτης.* — 60 *Τί ἐστι προσηγορικόν; τὸ τὴν κοινὴν οὐσίαν . . . . ἵππος.* — 61 *Τί ἐστιν ἐπίθετον; . . . . προσηγορικῶν τιθέμενον . . . . ψόγον.* — 65 *Τί ἐστι πρός τι; τὸ πρὸς ἕτερον ἔχον τὴν ἀναφοράν, οἷον πατήρ, δοῦλος, δεσπότης.* — 65 *Τί ἐστιν ὡς πρός τι; τὸ πρὸς ἕτερον μὲν λεγόμενον, κατ' ἐναντιότητα δὲ φθαρτικήν, οἷον νὺξ . . . . θάνατος.* — 67 *Τί ἐστιν ὁμώνυμον; οὗτινος τὸ ὄνομα ἓν κοινόν, ὁ δὲ ὁρισμὸς αὐτοῦ ἔνι ἕτερος, οἷον τὸ ζῶον. λέγεται ζῶον καὶ τὸ γεγραμμένον. καὶ ἔχουσιν ἓν ὄνομα, ἡ δὲ οὐσία αὐτῶν ἔνι ἑτέρα· τὸ μὲν γὰρ ἔνι ἔμψυχον, τὸ δὲ ἄψυχον.* — 69 *Τί ἐστι συνώνυμον; οὗτινος τὸ ὄνομα καὶ ὁ ὁρισμὸς ἔνι ὁ αὐτός, ὡς ὁ Πέτρος, καὶ ὁ Παῦλος· ἀμφότεροι γὰρ ἄνθρωποι λέγονται καὶ τῆς αὐτῆς οὐσίας εἰσί.* [Om. *φερώνυμον, διώνυμον, ἐπώνυμον,* sed inter *συνώνυμον* et *ἐθνικόν* praebent explicationes *πολυωνύμου* atque etiam *παρωνύμου*, licet Dionysianam *παρωνύμου* explicationem iam supra suo loco proposuerit.] — *Τί ἐστι πολυώνυμον; ὅπερ τὸ αὐτὸ ὂν πολλοῖς καὶ διαφόροις καλεῖται ὀνόμασιν, ὡς ἡ σπάθη λέγεται φάσγανον καὶ ἄορ καὶ ξίφος καὶ ἀμφήκες καὶ μάχαιρα καὶ ἀκινάκης.* — *Τί ἐστι παρώνυμον; τὸ ἀπό τινος παρονομαζόμενον, οιον ἀπὸ τῆς ῥητορικῆς ῥητορικός.* — 76 *Τι ἐστιν ἐθνικόν; τὸ . . . . Γαλάτης.* — 76 *Τί ἐστιν ἐρωτηματικόν; τὸ κατ' . . . . ποῖος.* [Om. *πόσος* et *πηλίκος* et totam *ἀορίστου* explicationem] — 78 *Τί ἐστιν ἀναφορικόν; τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοιοῦτος.* — 80 *Τί ἐστι περιληπτικόν; τὸ τῷ . . . . πλῆθος δηλοῦν, οἷον χορός, πλῆθος* [*Ἐπιμεριζομένου* et *περιεκτικοῦ* explicationes post *μετουσιαστικόν* demum]. — 81 *Λέγεται γίνωσκε καὶ ἐπιμεριζόμενον τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἔχον τὴν ἀναφοραν, οἷον ἑκάτερος, ἕκαστος.* — 82 *Ἔστι καὶ περιεκτικὸν τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τὸ περιεχόμενον, οἷον δαφνών, κοιτών, παρθενών.* — 83 *Τί ἐστι πεποιημένον; τὸ . . . . ἤχων ποιότητας ἢ καὶ ἰδιότητας . . . . ὀρυγμαδός.* — 84 *Τί ἐστι γενικόν; τὸ διαιρούμενον εἰς εἴδη, οἷον ζῶον, φυτόν.* — 85 *Τί ἐστιν εἰδικόν; τὸ διαιρούμενον ἀπὸ γένους, οἷον ἄνθρωπος, ἵππος, βοῦς.* — 86 *Τί ἐστι τακτικόν; τὸ . . . . δεύτερος.* — 87 *Τί ἐστιν ἀριθμητικόν; το σημαῖνον ἀριθμόν . . . . τρεῖς.* — 88 *Τί ἐστιν ἀπολελυμένον; . . . . οἷον ὁ θεός, ἄγγελος.* — 89 *Τί ἐστι μετουσιαστικόν . . . . δρύϊνος.*

E[b] *Περὶ ὀνόματος.* 2 *Τί ἐστιν ὄνομα; μέρος . . . . Πλάτων. πόθεν ὄνομα; παρὰ τὸ νέμω τὸ μερίζω.* — 4 *Πόσα . . . . πτώσεις.* — *Περὶ γένους* [titulum om. ed. pr.]. [Post etymologiam *γένος* vocis] 5 *Πόσα γένη; τρία . . . . οὐδέτερον. τί ἐστι γένος; . . . . οὐδέτερόν τι διακρίνων. πόθεν γένος; παρὰ τὸ γείνομαι* [ed. pr. *γείνω*] *τὸ γεννῶμαι* [ed. pr. *γεννῶ*]. *τί ἐστιν ἀρσενικόν; . . . . βῆμα. τινὲς δὲ προσέθηκαν . . . . γένη. καὶ τὸ μὲν ὠνόμασαν κοινόν, τὸ δὲ ἐπίκοινον. τί ἐστι κοινὸν γένος; οὐ δύναται*

προτάσσεσθαι κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν καὶ τὸ ὁ τὸ ἄρθρον καὶ τὸ ἡ, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος. τί ἐστιν ἐπίκοινον γένος; τὸ μετὰ μιᾶς φωνῆς καὶ ἑνὸς ἄρθρου ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ δηλοῦν τὰ δύο γένη, οἷον ὁ κόραξ, ὁ ἄρρην καὶ ἡ θήλεια, καὶ ὁ ἀετός, ὁμοίως καὶ ἡ χελιδών. — [Post etymologiam εἶδος vocis] 9 Πόσα εἴδη; δύο, πρωτότυπον ἢ [ed. pr. καὶ] παράγωγον. 10 τί ἐστι πρωτότυπον; . . . . γενέσεως, οἷον πᾶς. 11 τί ἐστι παράγωγον; τὸ ἀπό τινος παραγόμενον, οἷον ἀρήϊος ὁ πολεμικός. Περὶ εἴδους [tit. om. ed. pr.]. Τί ἐστιν εἶδος; φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσα . . . . θέσιν. πόθεν . . . . ὁμοιῶ. 11 πόσα εἴδη; . . . . καὶ ῥηματικόν. — 14 Τί ἐστι πατρωνυμικόν; τὸ ἀπὸ πατρὸς . . . . καὶ ἀπὸ προγόνων, οἷον Πηλείδης ὁ Ἀχιλλεὺς καὶ Αἰακίδης. 16 πόσοι . . . . Ἀτρείων, Ὑρράδιος, ὁ τοῦ Ὕρρα παῖς [Ὑράδιος et Ὕρα ed. Wald.]. 18 πόσοι . . . . Πριαμίς, Ἠλιάς, ἡ τοῦ Ἡλίου θυγάτηρ, Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου. 20 ἰστέον δὲ ὅτι ἀπὸ μητέρων . . . . ἀλλ' οἱ μεταγενέστεροι. — 22 Τί ἐστι κτητικόν; τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κεκτημένου, οἷον Πλατωνικὸν βιβλίον, Ἑκτόρειος χιτών. — 25 Τί ἐστι συγκριτικόν; τὸ σύγκρισιν ἔχον ἢ ἑνὸς πρὸς ἕνα . . . . ἰσχυρότερος Αἴαντος . . . . ἰσχυρότερος τῶν Τρώων. 28 πόσοι . . . . τερος, οἷον ὀξύτερος, ὁ εἰς ων καθαρόν, οἷον καλλίων, βελτίων, καὶ ὁ εἰς σσων [σων ed. Wald.], οἷον κρείσσων, ἥσσων. — 30 Τί ἐστιν ὑπερθετικόν; . . . . τατος, οἷον ὀξύτατος, καὶ ὁ εἰς στος, οἷον κάλλιστος. — 33 Τί ἐστιν ὑποκοριστικόν; τὸ . . . . ἀσυγκρίτως δηλοῦν, οἷον ἀνθρωπίσκος, λίθαξ [hoc exemplum om. ed. Wald.], μειρακύλλιον. πόσοι τύποι τῶν ὑποκοριστικῶν; ἕξ· ὁ εἰς κος, οἷον ἀνθρωπίσκος· ὁ εἰς υλλιον, οἷον μειρακύλλιον· ὁ εἰς υδριον, οἷον λογύδριον· ὁ εἰς ιον, οἷον ἀνθρώπιον. ὁ εἰς αξ, οἷον λίθαξ, καὶ ἐπὶ θηλυκοῦ ὁ εἰς ις [σις ed. pr.], οἷον νησίς [ed. pr. add. ἡ μικρὰ νῆσος]. — 34 Τί ἐστι παρώνυμον; τὸ παρ' ὄνομα ποιηθέν, οἷον Θέων, Τρύφων. — 36 Τί ἐστι ῥηματικόν; τὸ ἀπὸ . . . . Νοήμων. — Περὶ σχήματος. 36 Πόσα σχήματα; τρία . . . . παρασύνθετον. τί ἐστιν ἁπλοῦν σχῆμα; τὸ ἐκ μιᾶς λέξεως συνιστάμενον, οἷον ἵππος. τί ἐστι σύνθετον σχῆμα; τὸ ἐκ δύο λέξεων συγκείμενον, οἷον Φίλιππος. τί ἐστι παρασύνθετον σχῆμα; τὸ ἐκ τοῦ συνθέτου παραγόμενον, οἷον Φιλιππίδης. [Quae sequuntur de etymo et notione σχήματος, leguntur inverso ordine statim post Περὶ σχήματος] πόθεν σχῆμα; ἀπὸ τοῦ ἔσχημαι παθητικοῦ παρακειμένου, οὗ τὸ θέμα σχῶ ἄχρηστον. τί ἐστι σχῆμα; λέξεων ποσότης ὑφ' ἕνα τόνον . . . . ἢ συνθέσει. — Περὶ ἀριθμοῦ. 41 Πόσοι ἀριθμοί; . . . . [= Ev] . . . . Αἴαντες. [Quae sequuntur de etymo et notione ἀριθμοῦ leguntur inverso ordine statim post Περὶ ἀριθμοῦ] πόθεν ἀριθμός; παρὰ τὸ ἀλίζω [ἀλίζω ed. pr.] τὸ συναθροίζω ἀλιθμός [ἀλιθμός ed. pr.] καὶ ἀριθμός. τί [τίς ed. Wald.] ἐστιν ἀριθμός; σωρεία μονάδων ἢ μονάδων σύνθεσις. — Περὶ πτώσεως. 46 Πόσαι πτώσεις; πέντε· . . . . καὶ κλητική. πόσαι κυρίως πτώσεις; τέσσαρες· ἡ γὰρ ὀρθὴ οὐ λέγεται κυρίως πτῶσις, ἀλλὰ καταχρηστικῶς [Quae de notione et etymo πτώσεως sequuntur, leguntur statim post Περὶ πτώσεως] τί ἐστι πτῶσις; ὀνόματος ἢ ὀνομαστικοῦ (sic) τινος κατὰ τὸ τέλος γινομένη κίνησις. πόθεν πτῶσις; παρὰ τὸ πίπτω. — 51 Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ εἴδη προσαγορεύονται . . . . ὡς πρός τι ἔχον· τὸ κατὰ διαφόρων οὐσιῶν τὸ αὐτὸ λεγόμενον, καθὸ λέγοιται τὰ ὁμώνυμα· τὸ κατὰ διαφόρων μὲν τῷ ἀριθμῷ, τῆς αὐτῆς δὲ οὐσίας ὄντων τὸ αὐτὸ λεγόμενον, καθὸ λέγονται τὰ συνώνυμα, ἐθνικόν [φερώνυμον, διώνυμον, ἐπώνυμον ante ἐθνικόν desunt etiam in definitionibus], ἐρωτηματικόν . . . . περιεκτικόν, ὡς περιεκτικόν, πεποιημένον, γενικόν, εἰδικόν . . . . καὶ μετουσιαστικόν. — 59 Τί ἐστι κύριον ὄνομα; τὸ ἐπὶ τῶν ἀτόμων λεγόμενον, οἷον Σωκράτης, Πλάτων. — 60 Τί ἐστι προσηγορικόν; τὸ κοινὴν οὐσίαν σημαῖνον, οἷον ἄνθρωπος, ἵππος — 61 Τί ἐστιν ἐπίθετον; . . . . προσηγορικῶν λεγόμενον καὶ χωρὶς αὐτῶν οὐ δυνάμενον λέγεσθαι, οἷον ἀνδρεῖος,

ταχύς. 62 πόθεν λαμβάνονται τὰ ἐπίθετα; ἀπὸ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἢ τῶν συμβεβηκότων αὐτῇ, καὶ ἀπὸ τῶν ἐνεργειῶν τοῦ σώματος ἢ τῶν συμβεβηκότων αὐτῷ καὶ ἀπὸ τῶν ἐκτός. καὶ ἀπὸ μὲν τῶν τῆς ψυχῆς, οἷον φρόνιμος, μωρός, θεωρητικός. ἀπὸ δὲ τῶν τοῦ σώματος, οἷον μέλας, πύκτης. ἀπὸ δὲ τῶν ἐκτός, οἷον πλούσιος, πένης. — 65 Τί ἐστι πρός τι; τὸ πρὸς ἕτερον ἔχον σχέσιν καὶ [καὶ ὅπερ ed. pr.] αὐτὸ ὅπερ ἐστὶν ἑτέρου εἶναι λέγεται, οἷον πατὴρ υἱός, δοῦλος δεσπότης, μέγα μικρόν. — 65 Τί ἐστιν ὡς πρός τι ἔχον; τὸ πρὸς .... [= Ev] .... ζωή. — 67 [In enumeratione εἰδῶν dixerant τὸ κατὰ διαφόρων οὐσιῶν τὸ αὐτὸ λεγόμενον, καθὸ λέγονται τὰ ὁμώνυμα.] — 69 [In enumeratione εἰδῶν τὸ κατὰ διαφόρων μὲν τῷ ἀριθμῷ, τῆς αὐτῆς δὲ οὐσίας ὄντων τὸ αὐτὸ λεγόμενον, καθὸ λέγονται τὰ συνώνυμα.] — [Post ὡς πρός τι ἔχον subsequitur ἐθνικόν] 76 Τί ἐστιν ἐθνικόν; τὸ .... Γαλάτης. — 76 Τί ἐστιν ἐρωτηματικόν, ὃ καὶ πευστικὸν λέγεται; τὸ ἀπόκρισιν ζητοῦν ὡρισμένην, οἷον τίς, ποῖος, πόσος, πηλίκος [πηλίκος om. ed. Wald.]. — 77 Τί ἐστιν ἀόριστον; τὸ μὴ δηλοῦν ὡρισμένως ὃ ζητεῖ τὸ ἐρωτηματικόν, οἷον ὅστις, ὁποῖος, ὁπόσος. — 78 Τί ἐστιν ἀναφορικόν; τὸ πρὸς ἕτερον ἀναφερόμενον ἢ ὁμοιωματικῶς ἢ δεικτικῶς ἢ ἀνταποδοτικῶς, οἷον οἷος, ὅσος. — 80 Τί ἐστι περιληπτικόν; τὸ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον, οἷον δῆμος, χορός, ὄχλος. — Τί ἐστιν ἐπιμεριζόμενον; τὸ .... ἀναφορὰν κατὰ διαίρεσιν ἢ σύναψιν, οἷον ἕτερος, ἑκάτερος, ἕκαστος, ἄλλος. ποσαχῶς μερίζονται τὰ ἐπιμεριζόμενα; τετραχῶς· εἷς ἐκ δύο, ὡς ἕτερος· δύο καθ' ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλος· καὶ πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος. — 82 Τί ἐστι περιεκτικόν; τὸ ἐν μιᾷ φωνῇ δηλοῦν τὸ περιέχον καὶ τὸ περιεχόμενον, οἷον δαφνών, κοιτών. — Τί ἐστιν ὡς περιεκτικόν; ὅπερ τύπον μὲν ἔχει περιεκτικοῦ, ἑρμηνείαν δὲ καὶ δύναμιν οὐδαμῶς, οἷον ἀκανθεὼν μὲν περιεκτικόν, ἀπατεὼν δὲ καὶ κυκεὼν ὡς περιεκτικόν. — 83 Τί ἐστι πεποιημένον; τὸ .... ἤχων ποιότητας μιμητικῶς .... ὀρυγμαδός. — 84 Τί ἐστι γενικόν; τὸ δυνάμενον εἰς εἴδη διαιρεθῆναι, οἷον ζῷον, φυτόν. — 85 Τί ἐστιν εἰδικόν; τὸ ἀπὸ γένους διαιρεθὲν .... ἐλαία. — 86 Τί ἐστι τακτικόν; τὸ .... δεύτερος. — 87 Τί ἐστιν ἀριθμητικόν; τὸ σημαῖνον ἀριθμόν [ἀριθμούς ed. pr.] .... τρεῖς. — 88 Τί ἐστιν ἀπολελυμένον; ὃ .... οἷον θεός, λόγος, ἄγγελος. — 89 Τί ἐστι μετουσιαστικόν; .... πύρινος, λίθινος, δρύϊνος.

Et Περὶ ὀνόματος. Αἴας ποίου μέρους λόγου ἐστίν; ὀνόματος. 2 τί ἐστιν ὄνομα; μέρος λόγου .... Πλάτων. — 4 Πόσα παρέπεται .... πτώσεις. — 5 Πόσα γένη; ἕξ· ἀρσενικόν, θηλυκόν, οὐδέτερον, κοινόν, παντοῖον καὶ ἐπίκοινον. τί ἐστιν ἀρσενικόν; .... βῆμα. τί ἐστι κοινὸν γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν καὶ τὸ ὁ τὸ ἄρθρον καὶ τὸ ἡ, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος. τί ἐστι παντοῖον γένος; οὗ προτάσσονται κατ' εὐθεῖαν καὶ τὸ ὁ τὸ ἄρθρον καὶ τὸ ἡ καὶ τὸ τό, οἷον ὁ εὐδαίμων, ἡ εὐδαίμων καὶ τὸ εὔδαιμον. τί ἐστιν ἐπίκοινον γένος; τὸ μετὰ μιᾶς .... [= Eb] .... χελιδών. — Ποίου εἴδους (scil. τὸ Αἴας ἐστί); πρωτοτύπου. 9 πόσα εἴδη; δύο, πρωτότυπον καὶ παράγωγον. 10 τί ἐστι πρωτότυπον; τὸ ἀπ' οὐδενὸς παραγόμενον, οἷον πᾶς. 11 τί ἐστι παράγωγον; τὸ ἀπό τινος παραγόμενον, οἷον ἀρήϊος ὁ πολεμικός, ὅπερ παρήχθη ἀπὸ τοῦ Ἄρης ὁ πόλεμος. — [Quae sequuntur de paragogorum speciebus, in his erotematis posita sunt in fine capitis, quod est de nomine eiusque declinatione] 16 Πόσοι .... δης, οἷον Πριαμίδης, ὁ τοῦ Πριάμου υἱός, ὁ εἰς ων, οἷον Ἀτρείων, ὁ εἰς αδιος, οἷον Ὑρράδιος, ὁ τοῦ Ὕρρα παῖς. 18 πόσοι .... ις, οἷον Πριαμίς, ἡ τοῦ Πριάμου θυγάτηρ, ὁ εἰς ας, οἷον Πελιάς, ἡ τοῦ Πελίου, καὶ ὁ εἰς νη, οἷον Ἀδρηστίνη, ἡ τοῦ Ἀδράστου. — 28 Πόσοι τύποι τῶν συγκριτικῶν; τρεῖς· ὁ εἰς τερος, οἷον ὀξύτερος, ὁ εἰς ων, οἷον καλλίων, καὶ ὁ εἰς

σσων, οἷον κρείσσων, ἥσσων. — 31 *Πόσοι τύποι . . . . τατος, οἷον ὀξύτατος, καὶ ὁ εἰς στος, οἷον κάλλιστος.* — *Πόσοι τύποι; ἕξ· ὁ εἰς κος, οἷον . . . .* [= E^{b}] *. . . . νησίς.* — *Ποίου σχήματος* (scil. *Αἴας ἐστίν*); *ἁπλοῦ.* 36 *πόσα σχήματα; τρία· . . . .* [= E^{b}] *. . . . Φίλιππος. ἀπὸ γὰρ τοῦ φιλῶ ῥήματος καὶ τοῦ ἵππος συνετέθη Φίλιππος. τί ἐστι παρασύνθετον; τὸ ἀπὸ συνθέτου παραγόμενον, οἷον Φιλιππίδης ἀπὸ γὰρ τοῦ Φίλιππος συνθέτου παρήχθη Φιλιππίδης.* — 41 *Ποίου ἀριθμοῦ* (scil. *ὁ Αἴας ἐστίν*); *ἑνικοῦ. πόσοι ἀριθμοί; . . . .* [= E^{v}] *. . . . Αἴαντες.* — *Ποίας πτώσεως* (scil. *ὁ Αἴας ἐστίν*); *ὀρθῆς καὶ εὐθείας τῶν ἑνικῶν.* 46 *πόσαι πτώσεις; . . . . καὶ κλητική· ἡ γὰρ ὀρθὴ οὐ λέγεται κυρίως πτῶσις, ἀλλὰ καταχρηστικῶς.* — [Etiam quae de his speciebus nominum sequuntur, in fine totius capitis quod est de nomine eiusque flexione inveniuntur] 59 *Τί ἐστι κύριον . . . .* [= E^{b}] *. . . . ἵππος.* — 61 *Τί ἐστιν ἐπίθετον . . . .* [= E^{b}] *. . . . ταχύς. τὰ γοῦν ἐπίθετα λαμβάνονται ἀπὸ . . . .* [= E^{b}] *. . . . αὐτῇ, οἷον φρόνιμος, μωρός, θεωρητικός. καὶ ἀπὸ . . . .* [= E^{b}] *. . . . αὐτῷ, οἷον μέλας, πύκτης. καὶ ἀπὸ τῶν ἐκτός, οἷον πλούσιος, πένης.* — 65 *Τί ἐστι πρός τι ἔχον; τὸ πρὸς ἕτερον ἔχον σχέσιν καὶ ὅπερ αὐτὸ ὅπερ ἐστὶν ἑτέρου . . . .* [= E^{b}] *. . . . μέγας μικρός.* — 65 *Τί ἐστιν ὡς πρός τι ἔχον; τὸ πρὸς . . . .* [= E^{v}] *. . . . ζωή.* — [Post *ὡς πρός τι ἔχον* subsequitur *ἐθνικόν*] 76 *Τί ἐστιν ἐθνικόν; τὸ ἔθνους δηλωτικόν, οἷον Ῥωμαῖος, Θρᾷξ.* — 76 *Τί ἐστιν ἐρωτηματικόν; . . . .* [= E^{b}] *. . . . πηλίκος.* — 77 *Τί ἐστιν ἀόριστον; . . . .* [= E^{b}] *. . . . ὁπόσος.* — 78 *Τί ἐστιν ἀναφορικόν; . . . .* [= E^{b}] *. . . . ὅσος.* — 80 *Τί ἐστι περιληπτικόν; τὸ . . . .* [= E^{b}] *. . . . ὄχλος.* — 81 *Τί ἐστιν ἐπιμεριζόμενον; τὸ . . . . ποσαχῶς ἐπιμερίζονται . . . . ὡς ἕκαστος.* — 82 *Τί ἐστι περιεκτικόν; τὸ . . . .* [= E^{b}] *. . . . κοιτών.* — *Τί ἐστιν ὡς περιεκτικόν; . . . .* [= E^{b}] *. . . .* — 83 *Τί ἐστι πεποιημένον; τὸ . . . .* [= E^{b}] *. . . . ὀρυγμαδός.* — 84 *Τί ἐστι γενικόν; τὸ . . . . φυτόν.* — 85 *Τί ἐστιν εἰδικόν; τὸ . . . . ἐλαία* [= E^{b}]. — 86 *Τί ἐστι τακτικόν; τὸ . . . . δεύτερος.* — 87 *Τί ἐστιν ἀριθμητικόν; τὸ . . . .* [= E^{b}] *. . . . τρεῖς.* — 88 *Τί ἐστιν ἀπολελυμένον; ὃ . . . . θεός, λόγος* [post quae sequitur rasura septem litterarum], *ἄγγελος.* — 89 *Τί ἐστι μετουσιαστικόν; . . . . πύρινος, λίθινος, δρύϊνος.* —

DIONYSIUS § 13. *ΠΕΡΙ ῬΗΜΑΤΟΣ. Ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστᾶσα* [*παριστῶσα* BTVHA]. — *Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ· ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι, συζυγίαι* [*χρόνοι, πρόσωπα* VHA, *καὶ συζυγίαι* BT]. — *Ἐγκλίσεις μὲν οὖν εἰσι πέντε· ὁριστική, προστακτική, εὐκτική, ὑποτακτική, ἀπαρέμφατος* [*καὶ ἀπαρ.* BVHA]. — *Διαθέσεις εἰσὶ τρεῖς, ἐνέργεια, πάθος, μεσότης. ἐνέργεια μέν, οἷον τύπτω, πάθος δέ, οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος παριστᾶσα* [*παριστῶσα* BTVHA], *οἷον πέπηγα, διέφθορα, ἐποιησάμην, ἐγραψάμην.* — *Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μέν, οἷον ἄρδω, παράγωγον δέ, οἷον ἀρδεύω.* — *Σχήματα τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον. ἁπλοῦν μέν, οἷον φρονῶ· σύνθετον δέ, οἷον καταφρονῶ· παρασύνθετον δέ, οἷον ἀντιγονίζω, φιλιππίζω* [*ἀντιγονίζω* ML, *ἀνταγωνίζω* GBVH, *ἀνταγωνίζομαι* T]. — *Ἀριθμοὶ τρεῖς· ἑνικός, δυϊκός, πληθυντικός. ἑνικὸς μέν, οἷον τύπτω· δυϊκὸς δέ, οἷον τύπτετον· πληθυντικὸς* [*καὶ πληθ.* VHA] *δέ, οἷον τύπτομεν.* — *Πρόσωπα τρία· πρῶτον, δεύτερον, τρίτον* [*καὶ τρίτον* VHA]· *πρῶτον, οἷον τύπτω· δεύτερον, οἷον τύπτεις· τρίτον, οἷον τύπτει* [*πρῶτον — τύπτει* habent VHA, om. LGBT, sed BT add. in subsequentibus post primum *λόγος, οἷον λέγω*, post alterum *οἷον λέγεις*, post tertium *οἷον λέγει*]. *πρῶτον*

μέν, ἀφ᾽ οὗ ὁ λόγος· δεύτερον δέ, πρὸς ὃν ὁ λόγος· τρίτον δέ, περὶ οὗ ὁ λόγος. — Χρόνοι τρεῖς· ἐνεστώς, παρεληλυθώς, μέλλων. τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας· παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον. ὧν συγγένειαι τρεῖς· ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα. 19

Eg 1 *Τί ἐστι ῥῆμα; λέξις . . . . παριστᾶσα. ἄλλως· λέξις ἄπτωτος ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦσα μετ᾽ ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου, καὶ ἔστι προσώπων σημαντικόν, ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. πόθεν ῥῆμα; παρὰ τὸ ῥῶ τὸ λέγω. διατί μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται; ἐπειδὴ τὰ κυριώτερα τῶν ὀκτὼ μερῶν τοῦ λόγου τὸ ὄνομα καὶ τὸ ῥῆμά εἰσι.* — 3 *Πόσα παρέπεται τῷ ῥήματι; ὀκτὼ . . . . πρόσωπα, χρόνοι καὶ συζυγίαι.* — 4 *Πόσαι ἐγκλίσεις; πέντε . . . . καὶ ἀπαρέμφατος. τί ἐστιν ἔγκλισις; βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.* — 5 *Τί ἐστι διάθεσις; ἡ τοῦ σώματος μετάθεσις. ἄλλως· δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται καὶ κατατίθεται ἡ ψυχὴ ὡς ἐνεργοῦσά τι ἢ πάσχουσα. πόσαι διαθέσεις; τρεῖς· ἐνέργεια, πάθος, μεσότης . . . . ἐγραψάμην.* — 8 *Πόσα εἴδη; δύο . . . . ἀρδεύω.* — 8 *Πόσα σχήματα; τρία· . . . . ἁπλοῦν μέν, οἷον ἄρδω· σύνθετον δέ, οἷον ἐπάρδω· παρασύνθετον δέ, οἷον συνεπάρδω.* — 10 *Πόσοι ἀριθμοί; τρεῖς· . . . . καὶ πληθυντικός . . . . τύπτομεν.* — 12 *Πόσα πρόσωπα; τρία· . . . . περὶ οὗ ὁ λόγος. τί ἐστι πρόσωπον; τὸ διὰ τῶν οἰκείων αὐτοῦ ἐνεργημάτων τε καὶ ἰδιωμάτων φανερῶς καὶ ὡρισμένως τῶν ὁμοφυῶν αὐτοῦ παρέχον ἡμῖν τὰς ἐμφάσεις. τί ἐστι πρῶτον πρόσωπον; τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον προσυπακουομένης τῆς ἐγώ ἀντωνυμίας καὶ αὐτῆς πρώτου προσώπου οὔσης, οἷον λέγω ἐγώ. τί ἐστι δεύτερον πρόσωπον; τὸ ὑπὲρ σοῦ ἀποφαινόμενον προσυπακουομένης τῆς σύ ἀντωνυμίας καὶ αὐτῆς δευτέρου προσώπου οὔσης, οἷον λέγεις σύ. τί ἐστι τρίτον πρόσωπον; τὸ ὑπὲρ ἄλλου ἀποφαινόμενον προσυπακουομένης τῆς ἐκεῖνος ἀντωνυμίας καὶ αὐτῆς τρίτου προσώπου οὔσης, οἷον λέγει ἐκεῖνος.* — 16 *Πόσοι χρόνοι; τρεῖς . . . . μέλλων. τί ἐστι χρόνος; ἡ τῆς αἰωνίου ῥεύσεως ἐπίνοια. ἄλλως· πλατικὸς ἐνιαυτὸς ἢ ἀκαριαῖος· ἅμα γὰρ τῷ βούλεσθαι ἔχει καὶ τὸ εἶναι. πόθεν χρόνος; παρὰ τὸ ῥέω ῥόος καὶ πλεονασμῷ τοῦ χ χρόνος. τί ἐστιν ἐνεστὼς χρόνος; ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. τί ἐστι παρεληλυθώς; ὁ ἤδη παρελθών. τί ἐστι μέλλων; ὁ μήπω γεγονώς. σημείωσαι ὅτι ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας· παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον. τί ἐστι παρατατικός; ὁ παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. τί ἐστι παρακείμενος; ὁ ἐν ἑαυτῷ τὸ ἄρτιον ἔχων. τί ἐστιν ὑπερσυντέλικος; ὁ ἀπὸ πολλοῦ πληρωθείς. τί ἐστιν ἀόριστος; ὁ μὴ ἐμφαίνων τὸν ἑαυτοῦ καιρὸν ὡς ὡρισμένον. ποσαχῶς αἱ συγγένειαι τῶν παρευρημένων τούτων τῶν τριῶν χρόνων καὶ διαλυθέντων εἰς ἕξ; τριχῶς· ἐνεστῶτος . . . . μέλλοντα. διατί ὁ ἐνεστὼς πρὸς παρατατικὸν ἔχει συγγένειαν; ἐπειδὴ παρατεταμένην καὶ ἀπλήρωτον ἔχουσι τὴν σημασίαν ἀμφότεροι. διατί ὁ παρακείμενος πρὸς ὑπερσυντέλικον; ἐπειδὴ οἱ δύο πεπληρωμένοι εἰσί. διατί ὁ ἀόριστος πρὸς μέλλοντα; ἐπειδὴ ἀδήλους ἔχουσι τοὺς χρόνους ἀμφότεροι.*

Ev 1 [Definitionem non habent.] 3 *Γίνωσκε ὅτι τῷ ῥήματι ὀκτὼ παρέπονταί τινα· . . . . συζυγίαι.* — 4 *Γίνωσκε ὅτι ἐγκλίσεις εἰσὶ πέντε· . . . . καὶ ἀπαρέμφατος. ἔγκλισίς ἐστι βούλημα . . . . σημαινόμενον. διατί ἡ ἀπαρέμφατος οὐ λέγεται κυρίως ἔγκλισις; διότι οὐκ ἔχει βούλημα ψυχῆς. Διάθεσις δέ ἐστι τοῦ σώματος μετάθεσις, ἢ πεῖσις ἢ δρᾶσις, ἐν αἷς . . . . πάσχουσα. τρεῖς δέ εἰσι διαθέσεις*

ψυχῆς, ἐνέργεια, πάθος, μεσότης. 6 *καὶ ἐνέργεια μέν ἐστι τὸ τύπτω, ψάλλω, γράφω καὶ τὰ τοιαῦτα. πάθος δὲ τὰ παθητικά, οἷον τύπτομαι, γράφομαι καὶ τὰ τοιαῦτα. μεσότης δὲ ἡ τὰ μέσα ἐνεργείας ἔχοντα καὶ πάθους, ὡς τὸ ἐτυψάμην ἀντὶ τοῦ ἔτυψα, ἐδιδαξάμην ἀντὶ τοῦ ἐδίδαξα, ἅτινα παθητικὰ ὄντα ἐνεργείας εἰσὶ σημαντικά ἢ τὰς μετοχὰς δηλοῖ ὡς μετέχουσιν ὀνόματος καὶ ῥήματος.* — 8 *Εἴδη εἰσὶ δύο . . . . ἀρδεύω.* — 9 *Σχήματά εἰσι τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον.* — 11 *Ἀριθμοί εἰσι τρεῖς . . . . καὶ πληθυντικός.* — 12 *Πρόσωπά εἰσι τρία . . . . καὶ τρίτον.* 15 *τί ἐστι πρῶτον; καὶ πρῶτον μέν ἐστι τὸ διὰ τῶν οἰκείων ἐνεργημάτων καὶ ἰδιωμάτων τὰς ἐμφάσεις ἡμῖν παρέχον, οἷον λέγω ἐγώ. τί ἐστι δεύτερον; δεύτερον δέ ἐστι πρόσωπον τὸ ὑπὲρ σοῦ ἀπολογούμενον, προσυπακουομένης τῆς σὺ ἀντωνυμίας καὶ αὐτῆς δευτέρου προσώπου οὔσης, οἷον λέγεις σύ. τί ἐστι τρίτον; τρίτον δὲ τὸ ὑπὲρ ἄλλου ἀποφαινόμενον, προσυπακουομένης τῆς ἐκεῖνος ἀντωνυμίας τρίτου οὔσης προσώπου, οἷον λέγει ἐκεῖνος.* — 16 *Πόσοι χρόνοι; τρεῖς . . . . καὶ μέλλων. οὗτοι δὲ διαιροῦνται εἰς ἕξ, καὶ οἱ ἓξ εἰς θ'· εἰς ἐνεστῶτα, παρεληλυθότα, μέλλοντα, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, μέσον* (sic), *ἀόριστον καὶ μέλλοντα.*

E[b] *Περὶ ῥήματος. Τί ἐστι ῥῆμα; μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν . . . . οὐδετέρου. ἔστι δὲ . . . . καὶ ψυχῆς διαθέσεις δηλοῖ. πόθεν ῥῆμα; ἀπὸ τοῦ εἴρημαι παθητικοῦ παρακειμένου, οὗ τὸ θέμα εἰρέω εἰρῶ. ἐπὶ τῷ ρ; δασεῖαν· τὸ ρ πάσης λέξεως ἄρχον δασύνεται ὡς ἐξ ἡμισείας ὂν φωνῆεν.* 3 *Πόσα παρέπεται τῷ ῥήματι; ὀκτώ· . . . . συζυγίαι.* — 4 *Πόσαι ἐγκλίσεις; πέντε· . . . . καὶ ἀπαρέμφατος. τί ἐστιν ἔγκλισις; βούλημα . . . . σημαινόμενον.* [post enumerationem modorum:] *πόσαι κυρίως ἐγκλίσεις; τέσσαρα* [ed. pr. *τέσσαρες*]· *ἡ γὰρ ἀπαρέμφατος οὐ λέγεται κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, ἐπεὶ οὐ βούλημα ψυχῆς δηλοῖ.* — 5 *Τί ἐστι διάθεσις; δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται ἡ ψυχὴ ὡς ἐνεργοῦσά τι ἢ πάσχουσα. πόσαι διαθέσεις; τρεῖς· ἐνέργεια, πάθος, μεσότης.* — 8 *Πόσα εἴδη; δύο . . . . ἀρδεύω.* — 9 *Πόσα σχήματα; τρία· ἁπλοῦν . . . . οἷον φρονῶ. σύνθετον δέ, οἷον καταφρονῶ. παρασύνθετον δέ, οἷον ἀνταγωνίζομαι, φιλιππίζω.* — 11 *Πόσοι ἀριθμοί; τρεῖς. . . . .* [= Eg] *. . . . τύπτομεν.* — 12 *Πόσα πρόσωπα; τρία· . . . . καὶ τρίτον. τί ἐστι πρόσωπον; λέξις ἣν λέγει τις περὶ ἑαυτοῦ ἢ περὶ τοῦ πρὸς ὃν διαλέγεται ἢ περὶ ἑτέρου ἀπόντος* [*τί ἐστι . . . . ἀπόντος* in ed. Wald. ante *πόσα . . . . καὶ τρίτον* leguntur]. *τί ἐστι πρῶτον πρόσωπον; λέξις ἣν λέγει τις περὶ ἑαυτοῦ, οἷον λέγω ἐγώ. τί ἐστι δεύτερον πρόσωπον; λέξις, ἣν λέγει τις περὶ τοῦ πρὸς ὃν διαλέγεται, οἷον λέγεις σύ. τί ἐστι τρίτον πρόσωπον; λέξις, ἣν λέγει τις περὶ ἑτέρου ἀπόντος, οἷον λέγει ἐκεῖνος.* — 16 *Τί ἐστι χρόνος; τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα, ᾧ πᾶσα μετρεῖται κίνησις εἴτε ἀστέρων εἴτε ζώων εἴτε οὑτινοσοῦν τῶν κινουμένων. διαιρεῖται δὲ εἰς τρία, εἰς τὸ ἐνεστώς* (sic), *τὸ παρεληλυθὸς καὶ τὸ μέλλον. ἀπὸ τούτου καὶ αἱ ἐνέργειαι τοῦ ῥήματος καὶ τὰ πάθη τὰ κατὰ τοὺς χρόνους γινόμενα χρόνοι λέγονται. καὶ διαιροῦνται εἰς ἕξ· εἰς ἐνεστῶτα, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον καὶ μέλλοντα. τί ἐστιν ἐνεστώς; ὁ ἐνισταμένην . . . . σημασίαν. τί ἐστι παρατατικός; ὁ . . . . σημασίαν. τί ἐστι παρακείμενος; ὁ τὴν ἐνέργειαν ἢ τὸ πάθος ἔχων παρακείμενα τῷ ἐνεστῶτι. τί ἐστιν ὑπερσυντέλικος; παρακείμενος πεπληρωμένος. τί ἐστιν ἀόριστος; ὁ ἐπὶ τοῦ παρεληλυθότος μὲν λεγόμενος καὶ πεπληρωμένην σημασίαν ἔχων, μὴ ἔχων δὲ ὡρισμένον καιρὸν τῆς ἐνεργείας αὐτοῦ ἢ τοῦ πάθους. τί ἐστι μέλλων; ὁ μήπω γεγονώς.*

E^{t} *Τί ἐστι ῥῆμα; μέρος . . . .* [= E^{b}] *. . . . δηλοῖ.* — 3 *Πόσα παρέπεται τῷ ῥήματι; ὀκτώ· διάθεσις, χρόνος, ἔγκλισις, εἶδος, σχῆμα, συζυγία, πρόσωπον καὶ ἀριθμός* [qui ordo accidentium etiam in sequentibus servatur]. — 4 *Πόσαι ἐγκλίσεις; . . . . καὶ ἀπαρέμφατος. τί ἐστιν ἔγκλισις; βούλημα . . . . σημαινόμενον. ἔστι δὲ καὶ προςώπων δηλωτική.* [post enumerationem modorum:] *ἡ δὲ ἀπαρέμφατος οὐ κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, ἐπεὶ οὐ βούλημα ψυχῆς δηλοῖ.* — 5 *Τί ἐστι διάθεσις; δρᾶσις . . . .* [= E^{b}] *. . . . πάσχουσα. ποίας διαθέσεως* (scil. *τύπτω*)*; ἐνεργητικῆς. διατί; διότι εἰς ω λῆγον ποιεῖ ἐξ αὐτοῦ παθητικόν. ποίας διαθέσεως; παθητικῆς. διατί; διότι εἰς μαι λῆγον παθητικὴν σημασίαν ἔχει. ποίας διαθέσεως; οὐδετέρου. διατί; διότι εἰς ω λῆγον οὔτε ἐνέργειαν οὔτε πάθος σημαίνει, οἷόν ἐστι τὸ ζῶ, πλουτῶ, κάθημαι, ὑπάρχω. ποίας διαθέσεως; κοινῆς. διατί; διότι εἰς μαι λῆγον ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος δηλοῖ, οἷόν ἐστι τὸ βιάζομαι, κομίζομαι, κολάζομαι. ποίας διαθέσεως; μεταβατικῆς παθητικῆς. διατί; διότι εἰς μαι λῆγον ἐνεργητικὴν σημασίαν ἔχει, οἷόν ἐστι τὸ ἔρχομαι, πορεύομαι. ποίας διαθέσεως; μεταβατικῆς ἐνεργητικῆς. διατί; διότι εἰς ω λῆγον παθητικὴν σημασίαν ἔχει, οἷόν ἐστι τὸ ὀφθαλμιῶ, ἐρυθριῶ, ἀλγῶ, θνήσκω.* — 8 *Ποίου εἴδους* (scil. *τύπτω*)*; πρωτοτύπου. τί ἐστιν εἶδος; φωνῆς εἰκὼν τὴν ἑαυτοῦ δηλοῖσα πρώτην ἢ δευτέραν σχέσιν. πόσα εἴδη; δύο, πρωτότυπον καὶ παράγωγον. τί ἐστι πρωτότυπον; τὸ μὴ ἔχον προκάταρξιν τῆς ἑαυτοῦ γεννήσεως, οἷον ἄρδω. τί ἐστι παράγωγον; τὸ ἀπό τινος παραγόμενον, οἷον ἀρδεύω.* — 9 *Ποίου σχήματος* (scil. *τύπτω*)*; ἁπλοῦ. τί ἐστι σχῆμα; λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει. πόσα σχήματα; τρία . . . . παρασύνθετον. τί ἐστιν ἁπλοῦν σχῆμα; τὸ ἐκ μιᾶς λέξεως συγκείμενον, οἷον φρονῶ. τί ἐστι σύνθετον; τὸ ἐκ δύο λέξεων συνιστάμενον, οἷον καταφρονῶ. τί ἐστι παρασύνθετον; τὸ ἀπὸ συνθέτου παραγόμενον, οἷον φιλιππίζω.* — 11 *Ποίου ἀριθμοῦ* (scil. *τύπτω*)*; ἑνικοῦ. τί ἐστιν ἀριθμός; σωρεία μονάδων ἢ μονάδων σύνθεσις. πόσοι ἀριθμοί; τρεῖς . . . . τύπτομεν.* — 12 *Ποίου προςώπου* (scil. *τύπτω*)*; πρώτου. πόσα πρόςωπα; τρία . . . . καὶ τρίτον. τί ἐστι πρῶτον πρόςωπον; λέξις . . . .* [= E^{b}] *. . . . λέγει ἐκεῖνος.* — *Ποίου χρόνου* (scil. *τύπτω*)*; ἐνεστῶτος. τί ἐστι χρόνος; ἡ τῆς αἰωνίου ῥύσεως ἐπίνοια. ὁ χρόνος δὲ διαιρεῖται εἰς τρία, εἰς τὸ ἐνεστὼς . . . .* [= E^{b}] *. . . . πάθη χρόνοι . . . . μήπω γεγονώς.*

DIONYSIUS § 14. *ΠΕΡΙ ΣΥΖΥΓΙΑΣ. Συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις. εἰσὶ δὲ συζυγίαι βαρυτόνων μὲν ῥημάτων ἕξ, ὧν ἡ μὲν πρώτη ἐκφέρεται διὰ τοῦ β ἢ φ ἢ π ἢ πτ, οἷον λείβω, γράφω, τέρπω, κόπτω* [sic GVHA, *π ἢ φ* et *τέρπω, γράφω* BT, desunt ML]. *ἡ δὲ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ, οἷον λέγω, πλέκω, τρέχω, τίκτω. ἡ δὲ τρίτη διὰ τοῦ δ ἢ θ ἢ τ, οἷον ᾄδω, πλήθω, ἀνύτω* [*θ ἢ δύο ττ* et *ἀνύττω* VHA]. *ἡ δὲ τετάρτη διὰ τοῦ ζ ἢ τῶν δύο σσ* [*τῶν* om. BT], *οἷον φράζω, νύσσω, ὀρύσσω. ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων λ μ ν ρ, οἷον πάλλω, νέμω, κρίνω, σπείρω. ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω, οἷον ἱππεύω, πλέω, βασιλεύω* [*ἀκούω* add. VHA]. *τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰςάγουσιν διὰ τοῦ ξ καὶ ψ, οἷον ἀλέξω, ἕψω.* — *Περισπωμένων δὲ ῥημάτων συζυγίαι εἰσὶ τρεῖς, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προςώπου διὰ τῆς ει διφθόγγου, οἷον νοῶ νοεῖς νοεῖ. ἡ δὲ δευτέρα διὰ τῆς ᾳ διφθόγγου προςγραφομένου τοῦ ι* [*μὲν τοῦ ι* BVHA], *οὐ συνεκφωνουμένου δέ* [*μὴ* pro *οὐ* TVHA], *οἷον βοῶ βοᾷς βοᾷ. ἡ δὲ τρίτη διὰ τῆς οι διφθόγγου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ.* — *Τῶν δὲ εἰς μι*

ληγόντων ῥημάτων συζυγίαι εἰσὶ τέσσαρες, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἀπὸ τῆς πρώτης τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι. ἡ δὲ δευτέρα ἀπὸ τῆς δευτέρας, ὡς ἀπὸ του ἱστῶ γέγονεν ἵστημι. η δὲ τρίτη ἀπὸ τῆς τρίτης, ὡς ἀπὸ τοῦ διδῶ γέγονε δίδωμι. ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, ὡς ἀπὸ τοῦ πηγνύω γέγονε πήγνυμι. 16

